ὀστῶν πρὸς παραμυθίαν τῶν πιστῶν· καθ᾿ ὕπνον ἐπιφαινόμενος καὶ οἱονεὶ περιπτυσσόμενος τοὺς ἐν Ρώμῃ πιστοὺς πενθοῦντας μετὰ τὴν μαρτυρικὴν αὐτοῦ τελείωσιν, πρᾳότερον αὐτοῖς ἐποίει τὸ πένθος καὶ τῆς ὀδύνης τὸ ἄγριον ἀπεσβέννυ. Τὰ περιλειφθέντα ἅγια αὐτοῦ λείψανα ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν, καὶ κατετέθησαν ἐν λινῷ «θησαυρὸς ἀτίμητος ὑπὸ τῆς ἐν τῷ μάρτυρι χάριτος τῇ ἁγίᾳ ἐκκλησίᾳ καταλειφθέντα». Τοῦτο συνέβη τῷ 107ῳ σωτηρίῳ ἔτει(¹).

§ 20. *Αἱ ἑπτὰ ἐπιστολαὶ τοῦ ἁγίου Ἰγνατίου· ὕφος αὐτῶν καὶ γενικὴ ὑπόθεσις.*

Ὁ ἅγιος Πολύκαρπος, μεθ᾿ οὗ ὁ ἅγιος Ἰγνάτιος ἦν συνδεδεμένος τῷ συνδέσμῳ τῆς ἀγάπης, ἔγραφε πρὸς τοὺς Φιλαδελφεῖς: «Τὰς ἐπιστολὰς Ἰγνατίου τὰς πεμφθείσας ἡμῖν ὑπ᾿ αὐτοῦ καὶ ἄλλας ὅσας εἴχομεν παρ᾿ ἡμῖν, ἐπέμψαμεν, καθὼς ἐνετείλασθε, αἵτινες ὑποτεταγμέναι εἰσὶ τῇ ἐπιστολῇ ταύτῃ, ἐξ ὧν μεγάλα ὠφεληθῆναι δυνήσεσθε. Περιέχουσι γὰρ πίστιν καὶ ὑπομονὴν καὶ πᾶσαν οἰκοδομὴν τὴν εἰς τὸν Κύριον ἡμῶν ἀνήκουσαν» (²). Ὁ ἅγιος Εἰρηναῖος ανα-

(¹) Κατὰ τὰς σημειώσεις τῶν αὐτοπτῶν ὁ ἅγιος Ἰγνάτιος ἐτέλεσε τὸν ἀγῶνα αὐτοῦ, ὑπατευόντων παρὰ Ρωμαίοις Σύλλα καὶ Σενεκίου τῇ πρὸ δεκατριῶν Καλλανδῶν Ἰανουαρίων, τουτέστι Δεκεμβρίου εἰκάδι. Ὁ δὲ Σενέκιος ἦν ὕπατος τὸ τέταρτον καὶ ὁ Λικίνιος Σύλλας τὸ τρίτον, ἀκριβῶς τῷ 107, ὡς τοῦτο ἀπέδειξεν ὁ *Βοὔρμ*: de ponderum, nummorum, et mensurarum, et de anni ordinandi rationibus apud Romanos et graecos. Stutgard. 1820. 8. Ἡ κατὰ τῶν Πάρθων ἐκστρατεία, περὶ ἧς γίγνεται λόγος ἐν ταῖς σημειώσεσιν, ἐκληπτέα ὡς ἡ πρώτη εἰς διάκρισιν τῆς δευτέρας, γενομένης τῷ 112. Κατὰ τὴν μαρτυρίαν τοῦ Δίωνος καὶ τοῦ Ζωναρᾶ ὁ Τραϊανὸς ἔλαβε τὴν ἐπωνυμίαν *Optimus* διὰ τὴν κατὰ τῶν Πάρθων νίκην. Ἀλλ᾿ ἐπὶ τῶν νομισμάτων καλεῖται σύναμα καὶ τὸ πέμπτον ὕπατος, ἐν ᾧ τὴν ἕκτην ὑπατείαν ἔλαβε τῷ 112. Ἐφ᾿ ἑνὸς δὲ νομίσματος καλεῖται Καῖσαρ, Γερμανικός, Δακικός, Παρθικός. Καὶ σύναμα κεχάρακται τὸ δέκατον ἔτος αὐτῆς. Ἑπομένως ὁ Τραϊνὸς ἦν νικητὴς τῶν Πάρθων ἤδη κατὰ τὸ 10ον ἔτος τῆς κυβερνήσεως αὐτοῦ, ἤ, ὅπερ ταὐτό, κατὰ τὸ 107 Μ. Χ.

(²) Παρ᾿ Εὐσεβ. ἐκκλ. ἱστορ. γ΄. 36.

φέρει λέξεις ἐκ τῆς γνωστῆς ἐπιστολῆς τοῦ Ἰγνατίου πρὸς Ρωμαίους, καὶ ποιεῖται λόγον περὶ τῆς πρὸς Φιλιππησίους (1). Ὁ Ὠριγένης ἐχρήσατο μαρτυρίαις ἐκ τῆς πρὸς Ρωμαίους καὶ τῆς πρὸς Ἐφεσίους (2). Παραλείπομεν τοὺς ἄλλους (3). Ὁ Ἱερώνυμος (4) καὶ ὁ Εὐσέβιος ἀπαριθμοῦσι τὰς ἑπτὰ ἐπιστολὰς τοῦ ἁγίου Ἰγνατίου. Ὁ τελευταῖος διὰ βραχέων ἐκτίθησι καὶ τὴν ὑπόθεσιν ἑκάστης αὐτῶν(5). Πᾶν τὸ ὑπὸ τῶν ἀρχαίων λεγόμενον περὶ τῆς ὑποθέσεως τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰγνατίου ὁρῶμεν ἐν ταῖς ἄχρι τοῦδε διασωθείσαις ἑπτὰ βραχείαις ἐπιστολαῖς αὐτοῦ (6). Ἐντεῦθεν ἡ γνησιότης

(1) Παρ' Εὐσεβ. αὐτόθ. ἐκ τῆς § 4 τῆς πρὸς Ρωμ. ἐπ. πρὸς Φιλιπ. § 9. κατὰ αἱρέσ. ἑ. 28, 4. p. 327. Mass.

(2) Proleg. in Cant. Cantic. παράγει λέξεις ἐκ τῆς § 7. πρὸς Ρωμ. Homil. in Luc. VI. παράγει λέξεις § 19. ἐπ. πρὸς Ἐφεσ.

(3) Ὁ ἅγιος Ἀθανάσιος (ἐν τῷ περὶ τῶν γενομ.. ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκ. τῆς Ἰσαυρ. συν. κεφ. γζ'.) ἀναφέρει ῥῆσίν τινα τοῦ ἁγίου Ἰγνατίου, ἀναγινωσκομένην ἐν τῇ πρὸς Ἐφεσ. ἐπιστολ. αὐτοῦ. Ὁ Ἀντίοχος (λόγ. ρκδ'.) ἀναφέρει χωρία ἐκ τῆς πρὸς Πολύκαρπον ἐπιστ. Ἐκ τῶν ἐπιστ. πρὸς Σμυρναίους, Ἐφεσίους, καὶ Τραλλησίους ἀνέφερε χωρία ὁ Θεοδώρητος ἐν τοῖς Διαλόγ. Ἀτρέπτῳ, Ἀσυγχύτῳ καὶ Ἀπαθεῖ.

(4) De vir. illustr. c. 16. Ἐνταῦθα ἀναφέρει καὶ λέξεις ἐκ τῶν ἐπιστ. πρὸς Σμυρναίους § 3, καὶ Ρωμ. δ'. 5, καὶ ἐν τῇ ἑρμην. εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον· advers. Helvid. num 17. commentar. in Mathaeum, 1, 18, ἔνθα ἀναφέρει χωρίον ἐκ τῆς πρὸς Ἔφεσ ἐπ. κεφ. 19.

(5) Ἐκκλ. ἱστορ. γ'. 36. καὶ ἐκτὸς τούτου ἀναφέρει τὴν § 5 τῆς πρὸς Ρωμ. ἐπιστ. καὶ τὴν §. 3 τῆς πρὸς Ἐφεσίους.

(6) Αἱ ἑπτὰ ἐπιστολαὶ τοῦ ἁγ. Ἰγνατίου, αἱ ὑπὸ τῶν ἀρχαίων μνημονευόμεναι ἀφίκοντο μέχρις ἡμῶν ἐν διπλῇ μορφῇ βραχείᾳ καὶ μακρᾷ. Ἐκεῖνο, ὅπερ ἀναφέρουσιν ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. γ'. 36), καὶ ὁ Ἀθανάσιος (ἐν τῷ περὶ τῶν γενομ.. ἐν τῇ Ἀριμ. τῆς Ἰταλίας καὶ ἐν Σελευκ. τῆς Ἰσαυρ. συν.) ἐκ τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰγνατίου, ἀναγινώσκεται ἐν ταῖς βραχείαις ἐπιστολαῖς, καὶ οὐχ εὑρίσκεται ἐν ταῖς μακραῖς. Αἱ πρῶται τοίνυν εἰσὶν ἀρχαιότεραι τῶν τελευταίων. Οὐ ῥᾴδιον ὁρίσαι τὸν χρόνον, καθ' ὃν ἐγένετο ἡ παραλλαγή. Ὁ Θεοδώρητος ἐγίνωσκεν μόνον τὰς βραχείας· ἀλλ' ὁ Στέφανος Γόβαρος, συγγραφεὺς ἀκμάσας περὶ τὸ 580, ἐχρήσατο ταῖς μακραῖς (Φώτ. ἀνάγν. σλά. σελ. 92), διότι τάσσει τὸν ἅγιον Ἰγνάτιον ἐν τοῖς ἀντιπάλοις τῶν Νικολαϊτῶν, ὧν ἡ αἵρεσις πολεμεῖται ἐν ταῖς μακραῖς. Πασῶν τῶν ἐκδόσεων ἀρίστη ἐστὶν ἡ τοῦ Θωμᾶ Σμιθίου (Oxonii 1709), ἣ ἠκολούθησαν ὁ Φρεῦ (Basileæ 1741), ὁ Ρικ. Ρούσελ (Londini 1746), ὁ Ἀνδρέας Γαλλάνδιος (venetiis 1765), ὁ Γ. Ἰάκοβσων (Oxonii 1838 et 1840), καὶ ὁ Ἐφέλης Tubingae 1855. I. V.).

αὐτῶν ἐστιν ἀναμφισβήτητος καὶ πάντες ὅσοι δυσανασχετοῦντες ἐπὶ τῇ διδασκαλίᾳ αὐτῶν, ἰδίως περὶ τῆς ἁγίας ἐκκλησίας, ἐξέφρασαν ὑπονοίας περὶ τῆς γνησιότητος αὐτῶν τηνάλλως ἐπόνησαν (1).

Τὸ ὕφος τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰγνατίου ἐστὶ ζωηρὸν καὶ νευρῶδες. Αἱ δὲ ἔννοιαι καὶ τὰ αἰσθήματα, ὁρμητικῶς διαδεχόμενα ἄλληλα, διακόπτουσι τὴν ἀλληλουχίαν τῶν ἐννοιῶν, ἢ εἰσάγουσί τι νέον καὶ μὴ προσδοκώμενον· αἱ εἰκόνες διαδέχονται ἀλλήλας· ἡ δύναμις τῶν ἐννοιῶν καὶ αἰσθημάτων, μὴ εὑρίσκουσα ἐκφράσεις ἐν τοῖς συνήθεσι τρόποις τῆς γλώσσης, παραβαίνει τοὺς κανόνας τῆς γλώσσης, ἥτις καὶ ἄλλως ἐστὶ πλήρης συριακῶν ἐκφράσεων. Διὰ τοῦτο ἀνάγκη μεγάλης προσοχῆς καὶ κόπου πρὸς ὀρθὴν κατάληψιν καὶ ἔκφρασιν τοῦ γνησίου κειμένου τοῦ Ἰγνατίου.

Ἡ κυρία ὑπόθεσις τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰγνατίου (ἐξαιρουμένης τῆς πρὸς Ρωμαίους) ἐστὶ α] τὸ ὑπακούειν τῇ ἱεραρχικῇ ἐξουσίᾳ, καὶ β] ἀποφεύγειν τοὺς αἱρετικούς. Ἀμφότεραι αἱ ἔννοιαι αὗται ἑνοῦνται ἐν μιᾷ, τῇ ἑπομένῃ—τηρεῖν τὴν ἐκκλησιαστικὴν ἑνότητα ἐν τῷ πνεύματι τῆς πίστεως.

«Καὶ ὑμῖν δὲ πρέπει μὴ καταφρονεῖν τῆς ἡλικίας τοῦ ἐπισκόπου, ἀλλὰ κατὰ δύναμιν Θεοῦ Πατρὸς πᾶσαν ἐντροπὴν αὐτῷ ἀπονέμειν, καθὼς ἔγνων, καὶ τοὺς ἁγίους Πρεσβυτέρους, οὐ πρὸς τὴν φαινομένην ἀφορῶντες νεότητα, ἀλλὰ πρὸς τὴν ἐν Θεῷ φρόνησιν· οὐκ αὐτῷ δέ, ἀλλὰ τῷ Πατρὶ Ἰησοῦ Χριστοῦ, τῷ πάντων ἐπισκόπῳ. Εἰς τιμὴν οὖν ἐκείνου τοῦ θελήσαντος ἡμᾶς, πρέπον ἐστὶν ἐπακούειν κατὰ μηδεμίαν ὑπόκρισιν· οὐ γὰρ τὸν ἐπίσκοπον τοῦτον τὸν βλεπόμενον πλανᾷ τις, ἀλλὰ τὸν ἀόρατον παραλογίζεται. Τῷ δὲ τοιούτῳ οὐ πρὸς σάρκα ὁ λόγος, ἀλλὰ πρὸς Θεόν, τὸν τὰ κρύφια εἰδότα.—

(1) Μετὰ τὸν Καλβῖνον καὶ Λούθηρον ἰδίως ἐπέπεσον λάβρως κατὰ τῶν ἐπιστολῶν τοῦ Θεοφόρου Ἰγνατίου ὁ Σ. Βασνάγιος, ὁ Ματθ. Λαρροκῆνος, ὁ Κασιμ. Οὐδῖνος, καὶ ὁ Ἰωάννης Δαλλαῖος (Daillè). Ἀλλ' ὁ περικλεὴς Πήρσων πρὸς δόξαν αὐτοῦ τε καὶ τῆς ἀληθείας κατεπολέμησεν ἁπάσας αὐτῶν τὰς προσβολὰς (Joannis Pearsonii Vindiciae Jgnatianæ, insert. in Cotelerii Patr. Apostol. T. II. p. 284-342). Ἐπ' ἐσχάτων μόνος ὁ Βάουρ ἀπεφήνατο κατὰ τῶν ἐπιστολῶν τούτων. Ἀλλὰ τοῦτον ἄριστα ἀνεσκεύασεν ὁ *Rothe*, ὁ Hefele καὶ ἄλλοι.

Ἐπεὶ οὖν ἐν τοῖς προγεγραμμένοις προσώποις τὸ πᾶν πλῆθος ἐθεώρησα ἐν πίστει καὶ ἀγάπῃ, παραινῶ ἐν ὁμονοίᾳ Θεοῦ σπουδάζετε πάντα πράσσειν, προκαθημένου τοῦ ἐπισκόπου εἰς τόπον Θεοῦ, καὶ τῶν πρεσβυτέρων εἰς τόπον συνεδρίου τῶν Ἀποστόλων, καὶ τῶν διακόνων, τῶν ἐμοὶ γλυκυτάτων, πεπιστευμένων διακονίαν Ἰησοῦ Χριστοῦ, ὃς πρὸ αἰώνων παρὰ Πατρὶ ἦν, καὶ ἐν τέλει ἐφάνη... — Ὥσπερ οὖν ὁ Κύριος ἄνευ τοῦ Πατρὸς οὐδὲν ἐποίησεν, ἡνωμένος ὤν, οὔτε δι᾽ ἑαυτοῦ, οὔτε διὰ τῶν Ἀποστόλων· οὕτω μηδὲ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων μηδὲν πράσσετε. Μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν. Ἀλλ᾽ ἐπὶ τὸ αὐτὸ μία προσευχή, μία δέησις, εἷς νοῦς, μία ἐλπίς, ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ. Εἷς ἐστιν Ἰησοῦς Χριστός, οὗ ἄμεινον οὐδέν ἐστιν (1)· «οὐκ ἐξόν ἐστι χωρὶς τοῦ ἐπισκόπου οὔτε βαπτίζειν, οὔτε ἀγάπην ποιεῖν· ἀλλ᾽ ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ Θεῷ εὐάρεστον, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν, ὃ πράσσεται» (2).

(1) Ἐπιστ. πρὸς Μαγνησ. § 3,6,7.

(2) Ἐπιστ. πρὸς Σμυρν. § 8. Ἴδ. ἔτι ἐπιστ. πρὸς Ἐφεσ. § 3. «Καὶ γὰρ Ἰησοῦς Χριστός, τὸ ἀδιάκριτον ἡμῶν ζῆν, τοῦ Πατρὸς ἡ γνώμη, ὡς καὶ οἱ ἐπίσκοποι, οἱ κατὰ τὰ πέρατα ὁρισθέντες, ἐν Ἰησοῦ Χριστοῦ γνώμῃ εἰσι». § 6. «Πάντα γάρ, ὃν πέμπει ὁ οἰκοδεσπότης εἰς ἰδίαν οἰκονομίαν, οὕτω δεῖ ἡμᾶς αὐτὸν δέχεσθαι, ὡς αὐτὸν τὸν πέμψαντα. Τὸν οὖν ἐπίσκοπον δῆλον, ὅτι ὡς αὐτὸν τὸν Κύριον δεῖ προσβλέπειν·» πρὸς Φιλαδ. § 3. «Ὅσοι γὰρ Θεοῦ εἰσι καὶ Ἰησοῦ Χριστοῦ, οὗτοι μετὰ τοῦ ἐπισκόπου εἰσί». Πρὸς Τραλλησ. § 2. «Ὅταν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσησθε ὡς Ἰησοῦ Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστόν... Ἀναγκαῖον οὖν ἐστιν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσσειν ὑμᾶς· ἀλλ᾽ ὑποτάσσεσθε καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς Ἀποστόλοις Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησόμεθα». § 3. «Ὁμοίως πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους ὡς ἐντολὴν Ἰησοῦ Χριστοῦ, καὶ τὸν ἐπίσκοπον ὡς Ἰησοῦν Χριστόν, ὄντα Υἱὸν τοῦ Πατρός, τοὺς δὲ πρεσβυτέρους ὡς συνέδριον Θεοῦ, καὶ ὡς σύνδεσμον Ἀποστόλων·» πρὸς Σμυρν. § 8. «Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω· ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία.» αὐτόθ. «Ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα, ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ.» πρὸς Τραλ. § 7. «Ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ διακόνου πράσσων τι, οὗτος οὐ καθαρός ἐστι τῇ συνειδήσει.» § 3. «Χωρὶς τούτων ἐκκλησία οὐ καλεῖται.» § 12. «Πρέπει γὰρ ὑμῖν τοῖς καθ᾽ ἕνα, ἐξαιρέτως καὶ τοῖς πρεσβυτέροις, ἀναψύχειν τὸν ἐπίσκοπον εἰς τιμὴν Πατρὸς Ἰησοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων.» Ἡ πρὸς τὸν ἅγιον Πολύκαρπον ἐπιστολὴ κατ᾽ ἐξοχὴν ἐξιστορεῖ τά τε δικαιώματα καὶ τὰ καθήκοντα τοῦ ἐπισκόπου.

Περὶ τῶν αἱρετικῶν ἔγραφεν ὁ Θεοφόρος: «Προφυλάσσω δὲ ὑμᾶς ἀπὸ τῶν θηρίων τῶν ἀνθρωπομόρφων, ἃ οὐ μόνον ἀποστρέφεσθε χρὴ ἀλλὰ καὶ φεύγειν, μόνον δὲ προσεύχεσθε ὑπὲρ αὐτῶν, ἐάν πως μετανοήσωσιν. Τούτου δὲ ἔχει ἐξουσίαν Ἰησοῦς Χριστός, τὸ ἀληθινὸν ἡμῶν ζῆν. Εἰ γὰρ τῷ δοκεῖν ταῦτα ἐπράχθη ὑπὸ τοῦ Κυρίου ἡμῶν, κἀγὼ τῷ δοκεῖν δέδεμαι . . . — Μὴ πλανᾶσθε, ἀδελφοί μου, οἱ οἰκοφθόροι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Εἰ οὖν οἱ κατὰ σάρκα ταῦτα πράσσοντες ἀπέθανον, πόσῳ μᾶλλον, ἐάν τις πίστιν Θεοῦ ἐν κακῇ διδασκαλίᾳ φθείρῃ, ὑπὲρ ἧς Ἰησοῦς Χριστὸς ἐσταυρώθη; Ὁ τοιοῦτος ρυπαρὸς γενόμενος, εἰς τὸ πῦρ τὸ ἄσβεστον χωρήσει, ὁμοίως καὶ ὁ ἀκούων αὐτοῦ» (1). «Μὴ πλανᾶσθε, ἀδελφοί μου. Εἴ τις σχίζοντι ἀκολουθεῖ, βασιλείαν Θεοῦ οὐ κληρονομεῖ· εἴ τις ἐν ἀλλοτρίᾳ γνώμῃ περιπατεῖ, οὗτος τῷ πάθει οὐ συγκατατίθεται» (2). Τοὺς αἱρετικοὺς καλεῖ ὁτὲ μὲν μιαρούς, τὴν δὲ διδασκαλίαν αὐτῶν ἰόν (3), ὁτὲ δὲ θηρία ἀνθρωπόμορφα (4), κύνας λυσσῶντας, λαθροδήκτας (5). Ὁ ἅγιος Ἰγνάτιος ἦν πλήρης τρυφερᾶς ἀγάπης, καὶ διὰ τοῦτο προύτρεπε τοὺς πιστοὺς προσεύχεσθαι ἀδιαλείπτως καὶ ὑπὲρ αὐτῶν (6). Ἀλλ' ὅμως ἡ καθαρὰ πίστις ἦν αὐτῷ ὁ πολυτιμότατος τῶν θησαυρῶν τῆς ψυχῆς, καὶ ὁ μετὰ τῆς ἐκκλησίας σύνδεσμος ὁ ὅρος τῆς σωτηρίας. Ἐντεῦθεν οἱ ἐχθροὶ τῆς καθαρᾶς πίστεως καὶ τοῦ ἐκκλησιαστικοῦ συνδέσμου ἦσαν αὐτῷ ὑπόθεσις ἀποστροφῆς καὶ ἀγανακτήσεως.

Προτρέπων τοὺς πιστοὺς ὑπακούειν τῇ ἐκκλησιαστικῇ ἐξουσίᾳ καὶ ἀποτρέπων ἀπὸ τῶν αἱρετικῶν, ἐξεικονίζει τὸν Ἰησοῦν Χριστόν, ὡς ἀρχηγὸν ζώσης πίστεως, περιλαμβανούσης τήν τε παλαιὰν καὶ νέαν ἀποκάλυψιν, καὶ ἐν τῷ ζωοποιῷ πνεύματι ταύτης τῆς πίστεως

(1) Πρὸς Σμυρν. § 4. Ἐφεσ. § 16.

(2) Πρὸς Φιλαδ. § 3. τὸ αὐτὸ ἐν § 8. «Οὗ δὲ μερισμός ἐστι καὶ ὀργή, Θεὸς οὐ κατοικεῖ. Πᾶσιν οὖν μετανοοῦσιν ἀφίει ὁ Κύριος, ἐὰν μετανοήσωσιν εἰς ἑνότητα Θεοῦ καὶ συνέδριον τοῦ ἐπισκόπου».

(3) Πρὸς Τραλ. § 6.

(4) Πρὸς Σμυρν. § 4.

(5) Πρὸς Ἐφεσ. § 7.

(6) Πρὸς Ἐφεσ. § 10.

παραινεῖ ζητεῖν καὶ τὴν λύσιν τῶν ἀμφιβολιῶν καὶ τοὺς κανόνας τοῦ ζῆν. «Ἀδελφοί μου, λίαν ἐκκέχυμαι ἀγαπῶν ὑμᾶς, καὶ ὑπεραγαλλόμενος ἀσφαλίζομαι ὑμᾶς· οὐκ ἐγὼ δέ, ἀλλ' Ἰησοῦς Χριστός, ἐν ᾧ δεδεμένος φοβοῦμαι μᾶλλον, ὡς ἔτι ὢν ἀναπάρτιστος. Ἀλλ' ἡ προσευχὴ ὑμῶν εἰς Θεόν με ἀπαρτίσει, ἵνα, ἐν ᾧ κλήρῳ ἠλεήθην, ἐπιτύχω, προσφυγὼν τῷ Εὐαγγελίῳ ὡς σαρκὶ Ἰησοῦ, καὶ τοῖς Ἀποστόλοις ὡς πρεσβυτερίῳ ἐκκλησίας. Καὶ τοὺς προφήτας δὲ ἀγαπῶμεν, διὰ τὸ καὶ αὐτοὺς εἰς τὸ Εὐαγγέλιον κατηγγελκέναι, καὶ εἰς αὐτὸν ἐλπίζειν, καὶ αὐτὸν ἀναμένειν· ἐν ᾧ καὶ πιστεύσαντες ἐσώθησαν, ἐν ἑνότητι Ἰησοῦ Χριστοῦ, ὄντες ἀξιαγάπητοι καὶ ἀξιοθαύμαστοι, ἅγιοι, ὑπὸ Ἰησοῦ Χριστοῦ μεμαρτυρημένοι, καὶ συνηριθμημένοι ἐν τῷ Εὐαγγελίῳ τῆς κοινῆς ἐλπίδος . . . Παρακαλῶ δὲ ὑμᾶς, μηδὲν κατ' ἐριθείαν πράσσειν, ἀλλὰ κατὰ χριστομαθίαν. Ἐπεὶ ἤκουσά τινων λεγόντων, ὅτι, ἐὰν μὴ ἐν τοῖς ἀρχαίοις εὕρω, ἐν τῷ Εὐαγγελίῳ οὐ πιστεύω· καὶ λέγοντός μου αὐτοῖς, ὅτι, Γέγραπται, ἀπεκρίθησάν μοι, ὅτι Πρόκειται. Ἐμοὶ δὲ ἀρχαῖά ἐστιν Ἰησοῦς Χριστός, τὰ ἄθικτα ἀρχαῖα ὁ σταυρὸς Αὐτοῦ καὶ ὁ θάνατος καὶ ἡ ἀνάστασις Αὐτοῦ καὶ ἡ πίστις ἡ δι' Αὐτοῦ· ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι» (¹). «Σπουδάζετε οὖν βεβαιωθῆναι ἐν τοῖς δόγμασι τοῦ Κυρίου καὶ τῶν Ἀποστόλων, ἵνα πάντα ὅσα ποιεῖτε, κατευοδωθῆτε σαρκὶ καὶ πνεύματι, πίστει καὶ ἀγάπῃ, ἐν Υἱῷ

(¹) Πρὸς Φιλαδελ. 5, 8. Ἐν τῇ αὐτῇ ἐπιστολ. § 9. λέγει: « . . . ἐξαίρετον δέ τι ἔχει τὸ Εὐαγγέλιον, τὴν παρουσίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ πάθος Αὐτοῦ καὶ τὴν ἀνάστασιν. Οἱ γὰρ ἀγαπητοὶ προφῆται κατήγγειλαν εἰς Αὐτόν, τὸ δὲ Εὐαγγέλιον ἀπάρτισμά ἐστιν ἀφθαρσίας . . . » πρὸς Μαγνησ. §. 8. «Μὴ πλανᾶσθε ταῖς ἑτεροδοξίαις μηδὲ μυθεύμασι τοῖς παλαιοῖς, ἀνωφελέσιν οὖσιν. Εἰ γὰρ μέχρι νῦν κατὰ [νόμον] ἰουδαϊσμὸν ζῶμεν, ὁμολογοῦμεν χάριν μὴ εἰληφέναι. Οἱ γὰρ θειότατοι προφῆται κατὰ Χριστὸν Ἰησοῦν ἔζησαν. Διὰ τοῦτο καὶ ἐδιώχθησαν, ἐμπνεόμενοι ὑπὸ τῆς χάριτος Αὐτοῦ, εἰς τὸ πληροφορηθῆναι τοὺς ἀπειθοῦντας, ὅτι εἷς Θεός ἐστιν, ὁ φανερώσας ἑαυτὸν διὰ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ Αὐτοῦ, ὅς ἐστιν Αὐτοῦ Λόγος ἀΐδιος, οὐκ ἀπὸ σιγῆς προελθών . . . » πρὸς Σμυρν. 7. 5.

καὶ Πατρὶ καὶ ἐν Πνεύματι, ἐν ἀρχῇ καὶ ἐν τέλει» ([1]). «Καλοὶ καὶ οἱ ἱερεῖς, κρεῖσσον δὲ ὁ Ἀρχιερεύς, ὁ πεπιστευμένος τὰ ἅγια τῶν ἁγίων, ὃς μόνος πεπίστευται τὰ κρυπτὰ τοῦ Θεοῦ· αὐτὸς ὢν θύρα τοῦ Πατρός, δι' ἧς εἰσέρχονται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ οἱ Προφῆται καὶ οἱ ἀπόστολοι καὶ ἡ ἐκκλησία. Πάντα ταῦτα εἰς ἑνότητα Θεοῦ . . .πάντα ὁμοῦ καλά ἐστιν, ἐὰν ἐν ἀγάπῃ πιστεύητε» ([*]). Ἀρχὴ μὲν πίστις, τέλος δὲ ἀγάπη. Τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα, Θεοῦ ἐστι . . . Οὐ γὰρ νῦν ἐπαγγελίας τὸ ἔργον, ἀλλ' ἐν δυνάμει πίστεως, ἐάν τις εὑρεθῇ εἰς τέλος» ([2]).

§ 21. *Ἀντικείμενα τῆς πίστεως καὶ τῆς ἠθικῆς, ἐκτεθειμένα ἐν τῇ ἀναπτύξει τῶν κυριῶν ἐννοιῶν. Ὑποβολιμαῖαι ἐπιστολαί.*

Ἐν τῇ λεπτομερεῖ ἀναπτύξει τῶν κυρίων ἐννοιῶν ὁ ἅγιος Ἰγνάτιος πρὸ πάντων, κατὰ τὰς περιστάσεις τοῦ χρόνου, διασαφεῖ τὸ πρόσωπον τοῦ Ἰησοῦ Χριστοῦ. Εἰς ἀνασκευὴν τῆς διδασκαλίας τῶν Ἐβιωναίων ἐξεικονίζει τὴν θεότητα Αὐτοῦ σαφέστατα. «Ὁ Ἰησοῦς Χριστὸς λέγει ὁ Θεοφόρος, πρὸ αἰώνων παρὰ Πατρὶ ἦν, καὶ ἐν τέλει

([1]) Πρὸς Μαγνησ. § 13. Περὶ τῆς ὠφελείας τῆς κοινῇ προσευχῆς λέγει ἐν τῇ πρὸς Ἐφεσ, ἐπιστολ. § 15. «Εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ τοιαύτην ἰσχὺν ἔχει, πόσῳ μᾶλλον ἥτε τοῦ ἐπισκόπου καὶ πάσης τῆς ἐκκλησίας; Ὁ οὖν μὴ ἐρχόμενος ἐπὶ τὸ αὐτό, οὗτος ἤδη ὑπερηφανεῖ, καὶ ἑαυτὸν διέκρινε.» Περὶ τῆς πρὸς ἀλλήλους ἀγάπης § 14. «Ὧν οὐδὲν λανθάνει ὑμᾶς, ἐὰν τελείως εἰς Ἰησοῦν Χριστὸν ἔχητε τὴν πίστιν καὶ τὴν ἀγάπην, ἥτις ἐστὶν ἀρχὴ ζωῆς καὶ τέλος. Ἀρχὴ μὲν πίστις, τέλος δὲ ἀγάπη. Τὰ δὲ δύο, ἐν ἑνότητι γενόμενα, Θεοῦ ἐστι· τὰ δὲ ἄλλα πάντα εἰς καλοκἀγαθίαν ἀκόλουθά ἐστιν. Οὐδεὶς πίστιν ἐπαγγελλόμενος ἁμαρτάνει, οὐδὲ ἀγάπην κεκτημένος μισεῖ. Φανερὸν τὸ δένδρον ἀπὸ τοῦ καρποῦ αὐτοῦ· οὕτως οἱ ἐπαγγελλόμενοι χριστιανοὶ εἶναι, δι' ὧν πράσσουσιν ὀφθήσονται . . .» πρὸς Τραλ. § 8· « . . . ὑμεῖς οὖν τὴν πραϋπάθειαν ἀναλαβόντες, ἀνακτίσασθε ἑαυτοὺς ἐν πίστει, ὅ ἐστιν σὰρξ τοῦ Κυρίου, καὶ ἐν ἀγάπῃ, ὅ ἐστιν αἷμα Ἰησοῦ Χριστοῦ. Μηδεὶς ὑμῶν κατὰ τοῦ πλησίον τι ἐχέτω . . . .» πρὸς Φιλαδελφ. § 7. « . . . τὴν ἕνωσιν ἀγαπᾶτε, τοὺς μερισμοὺς φεύγετε . . .»

([*]) Πρὸς Φιλαδ. § 9.

([2]) Πρὸς Ἐφεσ. § 14.

ἐφάνη» (1), «ἔστιν Αὐτοῦ [τοῦ Πατρός] λόγος αἴδιος» (2). «Υἱὸς τοῦ Θεοῦ καὶ Θεός» (3). «Εἷς ἰατρός ἐστι, σαρκικός τε καὶ πνευματικός, γεννητὸς καὶ ἀγέννητος, ἐν σαρκὶ γενόμενος Θεός, ἀθάνατος ἐν ζωῇ ἀληθινῇ, καὶ ἐκ Μαρίας καὶ ἐκ Θεοῦ» (4). Δι᾿ αὐτοῦ ἐφανερώθη ἡμῖν ἡ θεότης (5).

Πρὸς ἔλεγχον τῶν Δοκητῶν ἀποδείκνυσι τὴν ἀνθρωπίνην φύσιν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τὰς ἐνεργείας αὐτῆς «. . . πεπληροφορημένους εἰς τὸν Κύριον ἡμῶν, ἀληθῶς ὄντα ἐκ γένους Δαυῒδ κατὰ σάρκα, Υἱὸν Θεοῦ κατὰ θέλημα καὶ δύναμιν Θεοῦ, γεγεννημένον ἀληθῶς ἐκ Παρθένου, βεβαπτισμένον ὑπὸ Ἰωάννου, ἵνα πληρωθῇ πᾶσα δικαιοσύνη ἐπ᾿ Αὐτοῦ, ἀληθῶς ἐπὶ Ποντίου Πιλάτου καὶ Ἡρώδου τετράρχου καθηλωμένον ὑπὲρ ἡμῶν ἐν σαρκί . . . Καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτόν, οὐχ ὅπερ ἄπιστοί τινες λέγουσι, τὸ δοκεῖν Αὐτὸν πεπονθέναι, αὐτοὶ τὸ δοκεῖν ὄντες· καὶ καθὼς φρονοῦσι καὶ συμβήσεται αὐτοῖς, οὖσιν ἀσωμάτοις καὶ δαιμονικοῖς» (6).

Ὑπερασπίζων τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ Ἰησοῦ κατὰ τῶν Δοκητῶν, ἠναγκάσθη ποιήσασθαι λόγον περὶ τῆς Θείας Εὐχαριστίας. Οἱ Δοκηταί, ἀπορρίπτοντες ἐν τῷ Χριστῷ τὴν ἀληθῆ ἀνθρωπότητα, ἀπέρριπτον καὶ τὴν ἁγίαν εὐχαριστίαν ὡς μηδαμῶς ἀναγκαίαν. Τίνα δὲ πίστιν τῆς ἐκκλησίας ἀντιτίθησιν αὐτοῖς ὁ ἀποστολικὸς ἀνήρ; «Εὐχαριστίας καὶ προσευχῆς, λέγει, ἀπέχονται, διὰ τὸ μὴ ὁμολογεῖν τὴν εὐχαριστίαν σάρκα εἶναι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ

(1) Πρὸς Μαγν. § 6.
(2) Πρὸς Μαγνησ. § 8.
(3) Πρὸς Ἐφεσ. § 18.
(4) Αὐτόθ. § 7.
(5) Πρὸς Μαγνησ. § 8.
(6) Πρὸς Σμυρν. § 1.2. Πρὸς Πολύκαρπ. § 3. «Τὸν ὑπὲρ καιρὸν προσδόκα, τὸν ἄχρονον, τὸν ἀόρατον, τὸν δι᾿ ἡμᾶς ὁρατόν, τὸν ἀψηλάφητον, τὸν ἀπαθῆ, τὸν δι᾿ ἡμᾶς παθητόν, τὸν κατὰ πάντα τρόπον δι᾿ ἡμᾶς ὑπομείναντα».

χρηστότητι ὁ Πατὴρ ἤγειρε» (1) [*]. Δῆλον, κατὰ τὴν διδασκαλίαν τῆς ἐκκλησίας, ὅτι ὡς ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῇ ἐνανθρωπήσει ἠμφιέσατο ἀληθῆ σάρκα καὶ αἷμα, οὕτως ἡ ἀληθὴς σὰρξ καὶ τὸ αἷμα Αὐτοῦ εὑρίσκονται ἐν τῇ Θείᾳ Εὐχαριστίᾳ. Ἡ τούτῳ ἀντικειμένη διδασκαλία ἐστὶν αἱρετική. Ἀλλαχοῦ ὁ ἅγιος Ἰγνάτιος καλεῖ τὴν Θείαν Εὐχαριστίαν φάρμακον ἀθανασίας, ἀντίδοτον τοῦ μὴ ἀποθανεῖν (2).

Ἐκτιθεὶς τὴν περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ διδασκαλίαν κατὰ τῶν Ἐβιωναίων Δοκητῶν, ἀφ᾽ ἑνὸς μὲν διὰ βραχέων ἀλλὰ σαφῶν λόγων, δείκνυσι τὸ τριαδικὸν τῶν Θείων Προσώπων (3), ἀφ᾽ ἑτέρου δ᾽ ἐξηγεῖται τὸν σκοπὸν τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ: «Ταῦτα γὰρ πάντα ἔπαθε δι᾽ ἡμᾶς, ἵνα σωθῶμεν. Καὶ ἀληθῶς ἔπαθεν, ὡς καὶ ἀληθῶς ἀνέστησεν ἑαυτόν» (4).

Παραινῶν ὑποτάσσεσθαι τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐκτίθησιν εἰκότως

(1) Πρὸς Σμυρν. § 7.

[*] «Ἐκ τῆς ῥήσεως ταύτης τοῦ Ἰγνατίου, λέγει ὁ σοφὸς Κοντογόνης, εὐκόλως πειθόμεθα, ὅτι ὁ ἱερὸς μάρτυς σκοπὸν ἔχει νὰ βεβαιώσῃ τὴν ἀληθῆ τοῦ κυριακοῦ σώματος παρουσίαν ἐν τῷ τῆς Θείας Εὐχαριστίας μυστηρίῳ· καὶ τῷ ὄντι τί σαφέστερον, ἢ τί βεβαιότερον δύναταί τις νὰ εἴπῃ περὶ ταύτης τῆς ἀληθείας πρὸς τὰς νῦν ἐπικρατούσας δοξασίας χριστιανικῶν τινων θρησκειῶν, ἢ ὅσα δογματίζει ἐνταῦθα ὁ Ἰγνάτιος, τουτέστιν, ὅτι ἡ εὐχαριστία εἶναι ἡ σάρξ, τὸ σῶμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, αὐτὸ ἐκεῖνο τὸ σῶμα, τὸ παθὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, τὸ ὁποῖον ἔπειτα ὁ Πατὴρ ἀνέστησε;» (Φιλολογ. καὶ κριτ. ἱστ. τῶν ἁγ. Πατ. Τόμ. Α΄. σελ. 113). Σ. Μ.

(2) Πρὸς Ἐφεσ. § 20. «Ἕνα ἄρτον κλῶντες, ὅς ἐστι φάρμακον ἀθανασίας, ἀντίδοτος τοῦ μὴ ἀποθανεῖν, ἀλλὰ ζῆν ἐν Ἰησοῦ Χριστῷ διὰ παντός».

(3) Ἴδ. ἀνωτ. σημ. 1. πρὸς Μαγν. § 13. «Ὑποτάγητε τῷ ἐπισκόπῳ καὶ ἀλλήλοις, ὡς Ἰησοῦς Χριστὸς τῷ Πατρὶ κατὰ σάρκα, καὶ οἱ Ἀπόστολοι τῷ Πατρὶ καὶ τῷ Χριστῷ καὶ τῷ Πνεύματι, ἵνα ἕνωσις ᾖ σαρκική τε καὶ πνευματική».

(4) Πρὸς Ἐφεσ. § 2. ἴδ. ἔτι σημ. 6. σελ. 39. καὶ σημ. 2. σελ. 28.

τὰ γνωρίσματα αὐτῆς (1). Τὴν σύστασιν τῆς ἐκκλησιαστικῆς ἱεραρχίας ἐνόμιζεν οὐκ ἀνθρώπινον ἔργον, ἀλλὰ θεῖον, ἔργον τοῦ Κυρίου Ἰησοῦ (2)· ἐδείκνυ τοὺς τρεῖς βαθμοὺς τῆς ἱεραρχίας τὸν τοῦ ἐπισκόπου ὡς ἀντιπροσώπου αὐτοῦ τοῦ Κυρίου (3), τὸν τῶν πρεσβυτέρων, ὡς ἀντιπροσώπων τῶν Ἀποστόλων (4), καὶ τὸν τῶν διακόνων, οἳ «οὐ βρωμάτων καὶ ποτῶν εἰσι διάκονοι, ἀλλ' ἐκκλησίας Θεοῦ ὑπηρέται» (5).

Ὡς πρὸς τὴν ἠθικὴν διδασκαλίαν ἐξαίρετός ἐστιν ἡ περὶ παρθενίας διδασκαλία τοῦ ἁγίου Ἰγνατίου. «Εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν εἰς τιμὴν τοῦ Κυρίου τῆς σαρκός, ἐν ἀκαυχησίᾳ μενέτω. Ἐὰν καυχήσηται, ἀπώλετο» (6). Οὐ πολλαὶ λέξεις, ἀλλὰ πλεῖσται περὶ παρθενίας ἔννοιαι! Ἐνταῦθα δέδεικται καὶ ἡ ὑψηλὴ τῆς παρθενίας ἀξία—ἡ τάσις πρὸς μίμησιν αὐτοῦ τοῦ Κυρίου, καὶ ὅτι χρὴ ἀναδέχεσθαι ταύτην μόνους τοὺς κατ' ἐπίγνωσιν ἐφιεμένους αὐτῆς, πρὸς δὲ καὶ τὸ πνεῦμα, ἐν ᾧ δεῖ διάγειν τὸν βίον τοῦτον.

Ἡ πρὸς Ρωμαίους ἐπιστολὴ ἐξεικονίζει ἄριστα τὸ πνεῦμα τοῦ μαρτυρίου.

Ἡ πρὸς Πολύκαρπόν ἐστι πρότυπον διδασκαλίας τῷ ποιμένι.

---

(1) Ἡ ἀληθὴς ἐκκλησία, κατὰ τὸν ἅγιον Ἰγνάτιον, ἐστι *μία*: «ἀφ' οὗ καρποῦ ἡμεῖς ἀπὸ τοῦ Θεομακαρίστου Αὐτοῦ πάθους, ἵνα ἄρῃ σύσσωμον εἰς τοὺς αἰῶνας διὰ τῆς ἀναστάσεως εἰς τοὺς ἁγίους καὶ πιστοὺς Αὐτοῦ, εἴτε ἐν Ἰουδαίοις, εἴτε ἐν ἔθνεσιν, ἐν ἑνὶ σώματι τῆς ἐκκλησίας Αὐτοῦ» (πρὸς Σμυρν. § 1.). «Εἷς ἐστιν Ἰησοῦς Χριστός, οὗ ἄμεινον οὐθέν ἐστι. Πάντες οὖν ὡς εἰς ναὸν συντρέχετε Θεοῦ, ὡς ἐπὶ ἓν θυσιαστήριον, ὡς ἐπὶ ἕνα Ἰησοῦν Χριστόν, τὸν ἀφ' ἑνὸς Πατρὸς προελθόντα, καὶ εἰς ἕνα ὄντα καὶ χωρήσαντα» (πρὸς Μαγν. § 7). «Ἐν οἷς περιφέρω δεσμοῖς ᾄδω τὰς ἐκκλησίας, ἐν αἷς εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ, τοῦ διὰ παντὸς ἡμῶν ζῆν, πίστεώς τε καὶ ἀγάπης» (αὐτόθ. § 1.), *καθολική*: «Ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς, ἐκεῖ ἡ καθολικὴ ἐκκλησία» (πρὸς Σμυρν. § 8.), καὶ *ἄφθαρτος*: «Διὰ τοῦτο μύρον ἔλαβεν ὁ Κύριος ἐπὶ κεφαλῆς, ἵνα ἡ ἐκκλησία πνέῃ τὴν ἀφθαρσίαν» (πρὸς Ἐφεσ. § 17).

(2) Πρὸς Μαγνησ. § 3.

(3) Πρὸς Μαγνησ. § 6. Πρὸς Τραλ. § 2.

(4) Πρὸς Σμυρν. § 8.

(5) Πρὸς Τραλ. § 2.

(6) Πρὸς Πολυκάρπ. § 5.

Ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἰγνατίου εἰσὶ γνωσταὶ ὀκτὼ ἔτι ἄλλαι ἐπιστολαί, ἐν αἷς δύο πρὸς τὸν Εὐαγγελιστὴν Ἰωάννην· ἀλλ᾽ οὔτε κατὰ τὴν λέξιν, οὔτε κατὰ τὴν ὑπόθεσιν ἀνήκουσιν εἰς τὸν Θεοφόρον, καὶ ταύτας ἠγνόει ἡ ἀρχαιότης (1).

§ 22. *Ὁ ἅγιος Πολύκαρπος ὁ Σμύρνης.*

Τῷ μεγάλῳ τοῦ ἁγίου Ἰγνατίου ὀνόματι στενότατα συνδέδεται τὸ τοῦ ἐν Κυρίῳ φίλου αὐτοῦ ἁγίου Πολυκάρπου ἐπισκόπου Σμύρνης.

Καὶ οὗτος, ὡς γράφει ὁ μαθητὴς αὐτοῦ Εἰρηναῖος, συνανεστράφη τοῖς Ἀποστόλοις καὶ πολλοῖς τῶν ἰδόντων τὸν Κύριον (2). Ἦν προσφιλὴς μαθητὴς τοῦ Ἀποστόλου Ἰωάννου, ὑφ᾽ οὗ καὶ προὐχειρίσθη εἰς ἐπίσκοπον Σμύρνης (3) [α]. Ἐκ τῶν ἰδίων αὐτοῦ λόγων

(1) Αἱ δύο πρὸς τὸν Εὐαγγελιστὴν Ἰωάννην καὶ μία πρὸς τὴν Θεομήτορα ἐγράφησαν λατινιστὶ καὶ ἐφάνησαν μετὰ τὸν ιγ´. αἰῶνα. Ἐν τῇ ἐπιστολῇ πρὸς Μαρίαν τὴν Κασσοβολῖτιν ὁ θάνατος τοῦ Ἰγνατίου ἀναφέρεται εἰς τὸν χρόνον τοῦ ἐπισκόπου Κλήμεντος. Ἐν τῇ πρὸς Ἥρωνα γίγνεται λόγος περὶ τῶν Μανιχαίων. Ἐν δὲ τῇ πρὸς Φιλιππησίους κατακρίνονται οἱ μετὰ τῶν Ἰουδαίων ἑορτάζοντες τὸ Πάσχα· ἀλλ᾽ αὐτὸς ὁ ἅγ. Ἰγνάτιος ἑώρταζεν οὕτω (ἴδ. περὶ Πολυκάρπ. σημ. 2). Ἐν τῇ πρὸς Ἀντιοχεῖς ἀσπάζεται ἀναγνώστας καὶ ἐξορκιστάς, ἀγνώστους ὄντας ἐπ᾽ αὐτοῦ. Ὁμοία ἐστὶ καὶ ἡ πρὸς Ταρσεῖς ἐπιστολή.

(2) Εἰρην. κατὰ αἱρ. γ´. 3. παρ᾽ Εὐσεβ. ἐκκλησ. ἱστορ. δ´. 14. Καὶ Πολύκαρπος ὑπὸ Ἀποστόλων μαθητευθεὶς καὶ συναναστραφεὶς πολλοῖς τοῖς τὸν Χριστὸν ἑωρακόσι».

(3) Hieron. de vir illustr. c.17. «Polycarpus, Joannis Apostoli discipulus, et ab eo Smyrnae episcopus ordinatus». Τὸ αὐτὸ λέγει ὁ Τερτυλλιανὸς ἐν τῷ de praescript. c. 32. «Edant ergo origines Ecclesiarum suarum; evolvant ordinem episcoporum suorum, ita per successiones ab initio decurrentem, ut primus ille episcopus aliquem ex Apostolis vel apostolicis viris, qui tamen cum Apostolis perseveraverint, habuerit auctorem et antecessorem... sicut Smyrnaeorum Ecclesia Polycarpum ab Joanne collocatum refert». Ὁ Εὐσέβιος (ἐκκλησ. ἱστορ. γ´. 36) γράφει: «Τῶν Ἀποστόλων ὁμιλητὴς Πολύκαρπος, τῆς κατὰ Σμύρνην Ἐκκλησίας πρὸς τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ Κυρίου, τὴν ἐπισκοπὴν ἐγκεχειρισμένος».

[α] Ἀμφίβολον, εἰ ἡ λαμπρὰ μαρτυρία, ἡ ἐν τῇ Ἀποκαλύψει (β´. 8.) *τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων* ἀποδιδομένη, ἀναφέρεται εἰς τὸν ἅγιον Πολύκαρπον, οὔτε τοῦ ἔτους τῆς γεννήσεως αὐτοῦ ἀκριβῶς ὄντος γνωστοῦ, οὔτε τοῦ χρόνου, καθ᾽ ὃν ἐγράφη ἡ Ἀποκάλυψις. Σ. Μ.

γίγνεται δῆλον, ὅτι ἐπεστράφη εἰς τὸν χριστιανισμὸν ἐκ τοῦ ἐθνισμοῦ (¹). Ὁ μαθητὴς αὐτοῦ Εἰρηναῖος περιγράφει πάνυ ζωηρῶς ὅτι ὁ Πολύκαρπος καὶ ἐν αὐτῷ τῷ γήρατι λίαν ἰσχυρῶς ἐμέμνητο πάντων, ὅσων ἤκουσε παρὰ τῶν αὐτοπτῶν τοῦ Λόγου, καὶ ὅτι μετὰ πλείστης ἀγάπης διηγεῖτο τοῖς ἑαυτοῦ μαθηταῖς ὅ,τι εἶδε καὶ ἤκουσε παρὰ τῷ ἠγαπημένῳ Ἰωάννῃ (²). Ὁ Ποιμὴν τῆς Σμύρνης, φιλικώτατα ἔχων πρὸς τὸν ἅγιον Ἰγνάτιον, ἐκοινώνει αὐτῷ τῶν περὶ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ μεριμνῶν, μετὰ δὲ τὸν θάνατον αὐτοῦ ἔμεινεν ἄ ρ χ ω ν π ά σ η ς τ ῆ ς Ἀ σ ί α ς (³).

Ἐπὶ τοῦ αὐτοκράτορος Ἀντωνίνου ἡ περὶ τῆς εἰρήνης τῆς ἐκκλησίας καὶ τῆς σωτηρίας πάντων μέριμνα ἤγαγε τὸν ἅγιον Πολύκαρπον ἐκ τῆς Ἀνατολῆς εἰς τὴν Δύσιν—εἰς Ῥώμην, ἔνθα ἐπέστρεψεν

(¹) Ἐπιστολ. πρὸς Φιλιπ. «.. in quibus laboravit beatus Paulus, qui estis laudati in principio epistolae ejus. De vobis etenim gloriatur in omnibus ecclesiis, quæ Deum solae tunc cognoverant, *nos* autem nondum noveramus» [Διὰ τῆς ἀντωνυμίας *nos* ὁ Οὐσσέριος ἐννοεῖ αὐτὸν τὸν Πολύκαρπον· ὀρθότερον ἴσως ἐννοοῦσι τοὺς Σμυρναίους (*Smyrnenses*) ὁ Κοτελέριος, ὁ Σμίθιος καὶ ἄλλοι. Σ. Μ.]

(²) «Εἶδον γάρ σε, παῖς ὢν ἔτι, ἐν τῇ κάτω Ἀσίᾳ παρὰ τῷ Πολυκάρπῳ, λαμπρῶς πράττοντα ἐν τῇ βασιλικῇ αὐλῇ καὶ πειρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ· μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων. Αἱ γὰρ ἐκ παίδων μαθήσεις, συναύξουσαι τῇ ψυχῇ, ἑνοῦνται αὐτῇ, ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον, ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους, καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις, ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου συναναστροφὴν ὡς ἀπήγγελλε καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν Κύριον, καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν, καὶ περὶ τοῦ Κυρίου τίνα ἦν, ἃ παρ' ἐκείνων ἠκηκόει, καὶ περὶ τῶν δυνάμεων Αὐτοῦ, καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ Λόγου παρειληφὼς ὁ Πολύκαρπος ἀπήγγελλε πάντα σύμφωνα ταῖς Γραφαῖς». Εἰρην. ἐπιστ. πρὸς Φλωρῖνον παρ' Εὐσεβ. ἐκκλησιαστ. ἱστορ. έ. 20.

(³) Hieron. de vir illustr. c. 17. «Totius Asiae princeps fuit. ἴδ. σημ. 2. «Οὗτός ἐστιν, ἐβόα ἅπαν τὸ πλῆθος ἐθνῶν τε καὶ Ἰουδαίων τῶν τὴν Σμύρναν κατοικούντων, ὁ τῆς ἀσεβείας διδάσκαλος, ὁ πατὴρ τῶν χριστιανῶν, ὁ τῶν ἡμετέρων ἐθνῶν καθαιρέτης, ὁ πολλοὺς διδάσκων μὴ θύειν, μηδὲ προσκυνεῖν τοῖς θεοῖς.» Περὶ μαρτυρ. τοῦ ἁγ. Πολυκάρπου ἐπιστ. ἐγκύκλ. § 12.

εἰς τὴν ὀρθοδοξίαν πολλοὺς τῶν ὀπαδῶν τοῦ Οὐαλεντίνου καὶ Μαρκίωνος. Αὐτὸς ὁ Μαρκίων ἐντυχὼν αὐτῷ τυχαίως ἐν Ῥώμῃ, εἶπε μετὰ θρασύτητος: «ἐπιγίνωσκε ἡμᾶς»· «ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ Σατανᾶ» (1), ἀπεκρίθη αὐτῷ ὁ μαθητὴς τοῦ Ἰωάννου (2). «Ὦ καλὲ Θεέ, εἰς οἵους με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι» (3) ἀνέκραξε δυσφορῶν ἐπὶ τῷ πλήθει τῶν αἱρέσεων. Οὕτως ἠγάπα τὴν ἀλήθειαν τοῦ Χριστοῦ, οὕτω περὶ πολλοῦ ἐποιεῖτο αὐτήν, καὶ οὕτως ἀπεστρέφετο τὸ ψεῦδος καὶ τοὺς ψευδοδιδασκάλους! Καίπερ δὲ τοῦ Ῥώμης Ἀνικήτου οὐ παραδεξαμένου τὴν γνώμην αὐτοῦ περὶ τοῦ χρόνου τῆς ἑορτῆς τοῦ Πάσχα, ὅμως οὐ μόνον οὐ διέρρηξε τὸν μετ' αὐτοῦ σύνδεσμον, ἀλλ' εἰς ἀπόδειξιν ἀκραιφνοῦς ἀγάπης ἐτέλεσε τὴν ἑορτὴν ἐν αὐτῇ τῇ Ῥώμῃ κατὰ τὸ ἔθος τῆς ἐκκλησίας αὐτοῦ, ὁ δὲ Ἀνίκητος κατὰ τὸ τῆς Ῥωμαϊκῆς. Οὕτω προσηνέχθη ὁ ἀποστολικὸς ἀνήρ, γενομένου λόγου περὶ ὑποθέσεως μὴ ἀφορώσης τὴν βάσιν τῆς πίστεως. Ἡ εὔφρων αὐτοῦ ἀγάπη ἐκώλυσε τὴν ταραχήν, ἥτις ἐκ τούτου ἠδύνατο ταράξαι τὰς ἐκκλησίας. Τοῦτο ἐγένετο τῷ 158ῳ σωτηρίῳ ἔτει (4).

---

(1) Εἰρην. κατὰ αἱρ. γ΄. 3. «Καί εἰσιν οἱ ἀκηκοότες αὐτοῦ, ὅτι Ἰωάννης, ὁ τοῦ Κυρίου μαθητής, ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι, καὶ ἰδὼν ἔσω Κήρινθον, ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ' ἐπειπών· φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου, τοῦ τῆς ἀληθείας ἐχθροῦ· καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος, Μαρκίωνί ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι, καὶ φήσαντι: ἐπιγίνωσκε ἡμᾶς· ἀπεκρίθη· ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ Σατανᾶ».

(2) Κατὰ τὸν Δίδυμον καὶ ὁ Ἀπόστολος Ἰωάννης ἔδωκε παρομοίαν ἀπάντησιν τῷ Βασιλείδῃ. Παράλ. Δαμασκ. Τ. 2. σελ. 341.

(3) Εὐσέβ. ἐκκλ. ἱστορ. έ. 20.

(4) Εἰρην. κατὰ αἱρέσ. γ΄. 3. Hieron. de vir illustr. c. 17. «Hic (Polycarpus) propter quasdam super Die Paschatis quaestiones sub imperatore Antonino, ecclesiam in urbe regente Aniceto, Romam venit». Εὐσέβ. ἐκκλ. ἱστορ. έ. 24. «Καὶ τοῦ μακαρίου Πολυκάρπου ἐπιδημήσαντος τῇ Ῥώμῃ ἐπὶ Ἀνικήτου, καὶ περὶ ἄλλων τινῶν μικρὰ σχόντες πρὸς ἀλλήλους, εὐθὺς εἰρήνευσαν, περὶ τούτου τοῦ κεφαλαίου μὴ φιλεριστήσαντες πρὸς ἑαυτούς· οὔτε γὰρ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μετὰ Ἰωάννου τοῦ μαθητοῦ τοῦ Κυρίου ἡμῶν, καὶ τῶν λοιπῶν Ἀποστόλων, οἷς συνδιέτριψεν, ἀεὶ τετηρηκότα· οὔτε μὴν ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισε τηρεῖν, λέγοντα τὴν συνήθειαν τῶν πρὸ αὐτοῦ πρεσβυτέρων ὀφείλειν κατέχειν. Καὶ τούτων οὕτως ἐχόντων, ἐκοινώνησαν ἑαυτοῖς· καὶ ἐν τῇ ἐκκλησίᾳ παρεχώρησεν ὁ Ἀνίκητος τὴν εὐχαριστίαν τῷ Πολυκάρπῳ, κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν, πάσης τῆς ἐκκλησίας εἰρήνην ἐχόντων τῶν τηρούντων, καὶ μὴ τηρούντων».

Ὁ ἅγιος Πολύκαρπος διῴκησε τὴν ἐκκλησίαν τῆς Σμύρνης δεκάδας τινὰς ἐτῶν, ὅτε ἐπέστη ὁ χρόνος καὶ τοῦ τελευταίου αὐτοῦ ἀγῶνος· Ἐπὶ τοῦ Μάρκου Αὐρηλίου, διαδόχου Ἀντωνίνου τοῦ εὐσεβοῦς, ἐπέσκηψεν ἐν Ἀσίᾳ δεινὸς κατὰ τῶν χριστιανῶν διωγμός. Ὁ ποιμὴν ἐκρύβη ἀπὸ τῶν διωκτῶν, ἵνα μυστικῶς ἐνισχύῃ τὰ ἑαυτοῦ τέκνα ἔν τε τῇ πίστει καὶ τῇ ὑπομονῇ. Ἔπειτα δ' ἀνακαλυφθεὶς ὑπὸ τῶν ζητούντων αὐτόν, ἤχθη εἰς τὸ στάδιον, ὅποι εἰσιόντι αὐτῷ, ἐγένετο φωνὴ ἐξ οὐρανοῦ λέγουσα: «Ἴσχυε καὶ ἀνδρίζου Πολύκαρπε»· ἐγκειμένου δὲ τοῦ ἀνθυπάτου καὶ λέγοντος: «Ὄμοσον, καὶ ἀπολύσωσε, λοιδόρησον τὸν Χριστόν·» ὁ Πολύκαρπος ἀπεκρίνατο· «ὀγδοήκοντα καὶ ἓξ ἔτη ἔχω δουλεύων Αὐτῷ, καὶ οὐδέν με ἠδίκησε· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με;» Ἐπιμένοντος δὲ τοῦ ἀνθυπάτου καὶ λέγοντος αὐτῷ: «ὄμοσον τὴν Καίσαρος τύχην,» ὁ ἅγιος ἀπεκρίνατο: «Εἰ κενοδοξεῖς, ἵνα ὀμόσω τὴν Καίσαρος τύχην, ὡς σὺ λέγεις, προσποιεῖ δὲ ἀγνοεῖν με, τίς εἰμι· μετὰ παρρησίας ἄκουε: χριστιανός εἰμι· εἰδὲ μαθεῖν θέλεις τὸν τοῦ χριστιανισμοῦ λόγον, δὸς ἡμέραν καὶ ἄκουσον». Εἰπόντος δὲ τοῦ ἀνθυπάτου: «πεῖσον τὸν δῆμον», εἶπε: «Σὲ μὲν καὶ λόγου ἠξίωσα· δεδιδάγμεθα γὰρ ἀρχαῖς καὶ ἐξουσίαις ὑπὸ τοῦ Θεοῦ τεταγμέναις τιμὴν κατὰ τὸ προσῆκον, τὴν μὴ βλάπτουσαν ἡμᾶς, ἀπονέμειν· ἐκείνους δὲ οὐχ ἡγοῦμαι ἀξίους τοῦ ἀπολογεῖσθαι αὐτοῖς». Ἀκούσας ταῦτα ὁ ἀνθύπατος, εἶπεν αὐτῷ: «Θηρία ἔχω, τούτοις σὲ παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς»· ὁ δὲ ἅγιος εἶπε: «Κάλει, ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μετάνοια· καλὸν δὲ μετατίθεσθαί με ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια». Ὁ ἀνθύπατος πάλιν εἶπεν αὐτῷ: «Πυρί σε ποιῶ δαπανηθῆναι, εἰ τῶν θηρίων καταφρονεῖς, ἐὰν μὴ μετανοήσῃς». Ὁ δὲ ἅγιος ἀπεκρίνατο: «Πῦρ ἀπειλεῖς τὸ πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβεννύμενον· ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ. Ἀλλὰ τί βραδύνεις; φέρε, ὃ βούλει». Ἔμπλεως ὀργῆς γενόμενος ὁ ἀνθύπατος, διέταξε τὸν κήρυκα αὐτοῦ κηρῦξαι τρίτον ἐν μέσῳ τῷ σταδίῳ: «Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν χριστιανὸν εἶναι». Τότε ἡ μανιώδης δεισιδαιμονία ἐδήλωσεν ὅσον καὶ ἐπὶ τίνι ἦν γνωστὸς ὁ Πολύκαρπος. «Οὗτός ἐστιν ὁ τῆς ἀσεβείας

διδάσκαλος, ὁ πατὴρ τῶν χριστιανῶν, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης, ὁ πολλοὺς διδάσκων μὴ θύειν μηδὲ προσκυνεῖν τοῖς θεοῖς», ἀκατασχέτῳ θυμῷ καὶ μεγάλῃ φωνῇ ἐπεβόων οἱ ὄχλοι. Μετ᾿ ἄκρας δὲ προθυμίας ἔδραμον ἐθνικοί τε καὶ Ἰουδαῖοι συλλέξοντες ἐκ τῶν ἐργαστηρίων καὶ τῶν βαλανείων τὰ ἀναγκαῖα ξύλα καὶ φρύγανα· ὁ δὲ ἅγιος εἶπε τοῖς βουλομένοις προσηλῶσαι αὐτὸν ἐπὶ δοκοῦ: «Ἄφετέ με οὕτως· ὁ γὰρ δούς μοι ὑπομεῖναι τὸ πῦρ, δώσει καὶ χωρὶς τῆς ἡμετέρας ἐκ τῶν ἥλων ἀσφαλείας, ἀσάλευτον ἐπιμεῖναι τῇ πυρᾷ». Ὁ δὲ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, ὀπίσω τὰς χεῖρας ποιήσας καὶ προσδεθείς, ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπε: «Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τοῦ ἀγαπητοῦ καὶ εὐλογητοῦ παιδός Σου Ἰησοῦ Χριστοῦ Πατήρ, δι᾿ οὗ τὴν περὶ Σοῦ ἐπίγνωσιν εἰλήφαμεν, ὁ Θεὸς ἀγγέλων καὶ δυνάμεων, καὶ πάσης τῆς κτίσεως, καὶ παντὸς τοῦ γένους τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιόν Σου· εὐλογῶ Σε, ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν με μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων Σου, ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ Σου, εἰς ἀνάστασιν ζωῆς αἰωνίου, ψυχῆς τε καὶ σώματος, ἐν ἀφθαρσίᾳ Πνεύματος ἁγίου· ἐν οἷς προσδεχθείην ἐνώπιόν Σου σήμερον ἐν θυσίᾳ πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας καὶ προεφανέρωσας καὶ ἐπλήρωσας, ὁ ἀψευδὴς καὶ ἀληθινὸς Θεός. Διὰ τοῦτο καὶ περὶ πάντων αἰνῶ Σε, εὐλογῶ Σε, δοξάζω Σε, σὺν τῷ αἰωνίῳ καὶ ἐπουρανίῳ Ἰησοῦ Χριστῷ, ἀγαπητῷ Σου παιδί· μεθ᾿ οὗ Σοὶ καὶ Πνεύματι ἁγίῳ ἡ δόξα, καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας. Ἀμήν». Πληρωθείσης τῆς εὐχῆς τοῦ ἁγίου, οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ· ἐκλαμψάσης δὲ μεγάλης φλογός, τὸ πῦρ ἐποίησεν εἶδος καμάρας, ὑφ᾿ ἣν ὁ ὁμολογητὴς τῆς ἁγίας Τριάδος ἔμενεν ἀβλαβής. Τέλος ἡ ὠμὴ ἀσέβεια ἐνέπηξε ξίφος τῷ στήθει τοῦ Μάρτυρος. Οὕτως ἐξεδήμησε πρὸς Κύριον ἐν βαθεῖ γήρατι (τῷ 166) ὁ «ἀποστολικὸς καὶ προφητικὸς διδάσκαλος».

Οἱ μαθηταὶ τοῦ ἁγίου Πολυκάρπου τὰ μάλιστα ἐσέβοντο τὸν ἑαυτῶν διδάσκαλον, καὶ ἐδήλωσαν ἐν ταὐτῷ πῶς ἐνόουν τὸν σεβασμὸν τοῦτον. Οἱ Ἰουδαῖοι παρεκάλεσαν τὸν ἀνθύπατον μὴ δοῦναι τὸ σῶμα τοῦ ἁγίου μάρτυρος ταφῇ ἀλλ᾿ ἀποκρύψαι, ἵνα μή, ὡς ἔλεγον, «ἀφέντες (οἱ χριστιανοὶ) τὸν ἐσταυρωμένον, τοῦτον ἄρξωνται

σέβεσθαι». Ταῦτα εἶπον, «ἀγνοοῦντες, γράφουσιν οἱ μαθηταὶ αὐτοῦ, ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν δυνησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σωζομένων σωτηρίας παθόντα οὔτε ἕτερόν τινα σέβεσθαι. Τοῦτον μὲν γάρ, Υἱὸν ὄντα τοῦ Θεοῦ προσκυνοῦμεν· τοὺς δὲ μάρτυρας, ὡς μαθητὰς καὶ μιμητὰς τοῦ Κυρίου, ἀγαπῶμεν ἀξίως, ἕνεκα εὐνοίας ἀνυπερβλήτου τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον» (1).

§ 23. *Ἐπιστολὴ πρὸς Φιλιππησίους—καὶ ἄλλα συγγράμματα.*

Ἐκτὸς τῆς μνημονευθείσης δοξολογίας τοῦ ἁγίου Πολυκάρπου, πάνυ ὑψηλῆς οὔσης, καὶ γραφείσης ὑπ' αὐτοπτῶν τοῦ μαρτυρίου αὐτοῦ, ὁ χρόνος διέσωσεν ἡμῖν τὴν πρὸς Φιλιππησίους ἐπιστολὴν

(1) Τῆς Σμυρν. ἐκκλησ. περὶ μαρτυρίου τοῦ ἁγ. Πολυκάρπου ἐπιστολὴ ἐγκύκλιος παρ' Εὐσεβ. ἐκκλ. ἱστ. δ'. 15. Ἡ ἐπιστολὴ αὕτη ἐξεδόθη ἑλληνιστὶ (ἀλλ' οὐχὶ ἀκεραία) καὶ λατινιστὶ ὑπὸ Πέτρου Ἀλλοϊξίου (in vit. Patr. oriental. T. 1. Duaci 1633). Ὁ Ἰάκωβος Οὐσσέριος ἐξέδωκεν αὐτὴν ἀκεραίαν ἐν Λονδίνῳ τῷ 1647 ἔκ τινος κώδηκος Βαροκκιανοῦ, περιέχοντος τὸ ἑλληνικὸν μηνολόγιον. Ὡσαύτως ὁ Κοτελέριος (Patr. Apost. T. 2. p. 193-203), ὁ Σμίθιος (ep. S. Ignatii et Polycarpi Oxon. 1709), ὁ Γαλλάνδιος (Bibl. Patr. T. I.), ὁ Ἰάκοβσων (ep. S. Ignat., Polycarpi Oxon. 1838), καὶ ὁ Ἐφέλης (Patr. Apost. op. Tubingae 1847). Ἐν τῷ κά. κεφ. τῆς ἐπιστολῆς ταύτης ἀναγινώσκομεν: «Μαρτυρεῖ δὲ ὁ μακάριος Πολύκαρπος μηνὸς Ξανθικοῦ δευτέρᾳ ἱσταμένου, πρὸ ἑπτὰ Καλανδῶν Μαΐων, Σαββάτῳ μεγάλῳ, ὥρᾳ ὀγδόῃ». Ἡ πρώτη ἡμέρα τοῦ Ξανθικοῦ τῶν Σμυρναίων ἀντιστοιχεῖ πρὸς τὴν 25 Μαρτίου, καὶ ἐπομένως ἡμέρα τῆς τελευτῆς τοῦ ἁγίου Πολυκάρπου ἦν ἡ 26 Μαρτίου. Ἔτος τοῦ μαρτυρικοῦ θανάτου τοῦ ἁγίου Πολυκάρπου ὁρίζουσί τινες (ὁ Πήρσων, ὁ Γαλλάνδιος, ὁ Λύμπερος) τὸ 147. Ἀλλ' εἰ ἦν ἐν Ῥώμῃ ἐπὶ τοῦ Ἀνικήτου, ὃς ἀνέβη ἐπὶ τὸν ἐπισκοπικὸν θρόνον οὐ πρὸ τοῦ 157, τὸ σφαλερὸν τῆς γνώμης ταύτης ἐστὶ πρόδηλον. Ἐν τῷ ἐκδεδομένῳ χρονικῷ τοῦ Εὐσεβίου τὸ μαρτύριον ἀναφέρεται εἰς τὸ ἕβδομον ἔτος τοῦ Μάρκου Αὐρηλίου (τῷ 167), ἔν τισι δ' ἀπογράφοις εἰς τὸ ἕκτον (τῷ 166).

αὐτοῦ, συνταχθεῖσαν εὐθὺς μετὰ τὸν θάνατον τοῦ φίλου αὐτοῦ Θεοφόρου (1).

Ἐν τῇ ἐπιστολῇ ταύτῃ, ἧς ἡ γνησιότης ἐστὶν ἀναμφήριστος (2) [α], ὁ ἅγιος Πολύκαρπος ἐπαινέσας τὴν εὐσέβειαν καὶ τὴν πίστιν

(1) Hieron. de vir. illustr. 3, 3. Περὶ τοῦ χρόνου, καθ' ὃν ἐγράφη ἴδ. § 13 τῆς αὐτῆς ἐπιστολῆς: et deipso Ignatio et de his, qui cum eo sunt, quod certius agnoveritis, signi ficate». Ἐκ τοῦ χωρίου τούτου ὑποθετέον, ὅτι ἡ ἐπιστολὴ ἐγράφη τῷ 107, ἢ ἐν τῇ ἀρχῇ τοῦ 108 ἔτ. (α) Ὁ Πολύκαρπος ἐγίνωσκεν ἤδη τὸν θάνατον τοῦ ἁγίου Ἰγνατίου (§ 39), ἀλλὰ τὰς περιστάσεις, τοὺς λόγους, κτλ. ὡς φαίνεται, ἠγνόει. Σ. Μ.

(2) Ταύτης μνείαν ποιοῦνται μετ' ἐπαίνων ὁ Εἰρηναῖος «. . . ἔστι δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη, ἱκανωτάτη, ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ, καὶ τὸ κήρυγμα τῆς ἀληθείας, οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν...» (κατὰ αἱρ. γ'. 3. παρ' Εὐσεβ. δ'. 14), ὁ Εὐσέβιος: «ὁ μέν τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ πρὸς Φιλιππησίους αὐτοῦ γραφῇ, φερομένῃ ὡς δεῦρο, κέχρηταί τισι μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς» (ἐκκλ. ἱστορ. δ'. 14), ὁ Ἱερώνυμος: «Polycarpus scripsit ad Philippenses valde utilen, epistolam, quae usque hodie in Asiae conventu legitur» (de vir illustr. c. 17.), ὁ Φώτιος: «Ἐν τῷ αὐτῷ δὲ βιβλιδαρίῳ ἀνεγνώσθη καὶ Πολυκάρπου ἐπιστολὴ πρὸς Φιλιππησίους, γέμουσα πολλῆς νουθεσίας μετὰ σαφηνείας καὶ ἁπλότητος κατὰ τὸν ἐκκλησιαστικὸν τῆς ἑρμηνείας τύπον» (ἀνάγν. ρκϛ'.) [ὁ Σουΐδας καλεῖ αὐτὴν *πάνυ θαυμαστὴν* ἐν λ. Πολύκαρπος. Σ. Μ.].

[α] Περὶ τῆς αὐθεντίας τῆς ἐπιστολῆς ταύτης, ἀμφισβητηθείσης ὑπὸ τῶν Μαγδεβουργικῶν ἑκατονταετηρίδων, τοῦ Δαλλαίου, καὶ ἄλλων, ἄριστα ἐπραγματεύσατο ὁ σοφώτατος Νικόλαος Νουρρῦ [Nourry] (par. ad Bibl. Patrum, t. I.). Ἐκτὸς τοῦ περὶ τὴν ἐκκλησιαστικὴν ἀρχαιολογίαν δεινοτάτου τούτου συγγραφέως πρβλ. Pearson. Vintic. Ignat., p. II. c. 5., Mosheim comment. de rebus Christ., p. 162. Tillemont, Memoires, II. 327; Ittig. Diss. de haeresiarchis apostolicae aetatis, p. 186., appendic. p. 75 sq. Κοντογ. Φιλ. καὶ κριτ. ἱστορ. τῶν ἁγ. Πατ. Τ. Ι. σελ. 123-124 Σ.Μ.

τῶν Φιλιππησίων (§ 1) [6], προτρέπει αὐτοὺς γίγνεσθαι τελείους ἐν τῇ καρποφόρῳ πίστει ἐκείνου, «ᾧ ὑπετάγη τὰ πάντα ἐπουράνια καὶ ἐπίγεια· ᾧ πᾶσα πνοὴ λατρεύει. Ὃς ἔρχεται κριτὴς ζώντων καὶ νεκρῶν» (§ 2, 3)· ἰδίως δ' ἐντέλλεται φεύγειν τὴν φυλαργυρίαν, διδάσκειν ἑαυτούς, τὰς συζύγους, καὶ τὰς χήρας (§ 4)· περιγράφει τὰ καθήκοντα τῶν διακόνων, τῶν νέων, καὶ τῶν παρθένων (§ 5), τῶν πρεσβυτέρων: «Καὶ οἱ πρεσβύτεροι δέ, γράφει, ὀφείλουσιν εἶναι εὔσπλαγχνοι, εἰς πάντας ἐλεήμονες, ἐπιστρέφοντες τὰ ἀποπεπλανημένα, ἐπισκεπτόμενοι πάντας ἀσθενεῖς, μὴ ἀμελοῦντες χήρας, ἢ ὀρφανοῦ, ἢ πένητος· ἀλλὰ προνοοῦντες ἀεὶ τοῦ καλοῦ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων», ἀπεχόμενοι πάσης ὀργῆς, προσωποληψίας, κρίσεως ἀδίκου· μακρὰν ὄντες πάσης φιλαργυρίας· μὴ ταχέως πιστεύοντες κατά τινος· μὴ ἀπότομοι ἐν κρίσει, εἰδότες, ὅτι πάντες ὀφειλέται ἐσμὲν ἁμαρτίας» (§ 6). Περαιτέρω λέγει κατὰ τῶν ψευδοδιδασκάλων: «Πᾶς γάρ, ὃς ἂν μὴ ὁμολογῇ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέναι, ἀντίχριστός ἐστι· καὶ ὃς ἂν μὴ ὁμολογῇ τὸ μαρτύριον τοῦ Σταυροῦ, ἐκ τοῦ διαβόλου ἐστίν· καὶ ὃς ἂν μεθοδεύῃ τὰ λόγια τοῦ Κυρίου πρὸς τὰς ἰδίας ἐπιθυμίας, καὶ λέγῃ μήτε ἀνάστασιν, μήτε κρίσιν εἶναι, οὗτος πρωτότοκός ἐστι τοῦ Σατανᾶ» (§7). Προτρέπει ἀσκεῖν πᾶσαν ὑπομονὴν κατὰ τὸ παράδειγμα Ἐκείνου, «Ὃς πάντα ὑπέμεινε δι' ἡμᾶς, ἵνα ζήσωμεν ἐν αὐτῷ» (§ 8), καὶ κατὰ τὸ παράδειγμα τῶν μακαρίων Ἰγνατίου, Ζωσίμου, Ρούφου, καὶ ἄλλων (§ 9-10) ὁμολογητῶν. Ποιησάμενος μνείαν μετὰ πατρικῆς λύπης περὶ τῆς πλεονεξίας ἀναξίου τινὸς πρεσβυτέρου, Οὐάλεντος καλουμένου, καὶ τῆς συζύγου αὐτοῦ, παραινεῖ ἀπέχεσθαι τοῦ πάθους τούτου. Τελευταῖον δὲ περαίνει τὴν ἐπιστολὴν δι' εὐχῆς, «ἵνα

---

[6] Ἐν τῇ 1 § ὁμολογεῖ περὶ τοῦ δόγματος τῆς δικαιώσεως ἡμῶν τὴν αὐτὴν διδασκαλίαν, ἣν καὶ ὁ Ἀπόστολος Παῦλος διδάσκει ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ. Ἐσώθημεν, λέγει, τῇ χάριτι τοῦ Θεοῦ, δηλ. οὐκ ἐκ τῶν καλῶν ἡμῶν ἔργων, ἀλλὰ θελήματι Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ «...εἰς ὃν οὐκ ἰδόντες πιστεύετε, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ· εἰς ἣν πολλοὶ ἐπιθυμοῦσιν εἰσελθεῖν, εἰδότες, ὅτι *χάριτί ἐστε σεσωσμένοι, οὐκ ἐξ ἔργων* (Ἐφεσ. β. 8. 9.), ἀλλὰ θελήματι Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ.» Σ. Μ.

ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ Αὐτὸς ὁ αἰώνιος ἀρχιερεύς, ὁ Υἱὸς τοῦ Θεοῦ Ἰησοῦς Χριστός, οἰκοδομήσῃ ὑμᾶς ἐν τῇ πίστει καὶ τῇ ἀληθείᾳ, καὶ ἐν πάσῃ πραότητι, καὶ ἄνευ ὀργῆς, καὶ ἐν ὑπομονῇ καὶ μακροθυμίᾳ καὶ καρτερίᾳ καὶ ἁγνείᾳ, καὶ δῷ ὑμῖν κλῆρον καὶ μερίδα ἐν τοῖς ἁγίοις Αὐτοῦ, καὶ ἡμῖν μεθ' ὑμῶν καὶ πᾶσι τοῖς ὑπὸ τὸν Οὐρανόν, τοῖς πιστεύσουσιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὸν Πατέρα Αὐτοῦ, ὃς ἤγειρεν Αὐτὸν ἐκ νεκρῶν» [*], καὶ ἐντέλλεται προσεύχεσθαι ὑπὲρ τῶν βασιλέων καὶ τῶν ἄλλων ἀρχῶν (1).

Ὁ ἅγιος Πολύκαρπος ἐν τῇ ἐπιστολῇ αὐτοῦ χρῆται ὡς ἐπὶ τὸ πλεῖστον ῥήσεσι τοῦ Εὐαγγελίου καὶ τῶν ἐπιστολῶν τῶν Ἀποστόλων, φέρει δὲ μαρτυρίας τινὰς ἐκ τῆς Α΄. ἐπιστ. τοῦ Πέτρου, ὡς ἐσημείωσε καὶ ὁ Εὐσέβιος (2), καὶ ἑπομένως ἐστὶ λίαν σπουδαία διὰ τὸν κανόνα τῆς ἁγ. Γραφῆς.

Περὶ τῆς ἀξίας τῆς ἐπιστολῆς ταύτης ἀποφαίνεται ὁ ἅγ. Εἰρηναῖος (3). Ἀληθῶς ἐν ταύτῃ ὁρῶμεν σαφεῖς μαρτυρίας καὶ περὶ τῆς θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ περὶ τῆς ἀνθρωπότητος τοῦ Χρι-

---

[*] «Deus autem et Pater domini nostri jesu Christi, et ipse sempiternus Pontifex, Dei filius jesus Chistus, aedificet nos in fide et veritate, et in omni mansuetudine, et sine iracundia, et in patientia, et longanimitate, et tolerantia, et castitate· et det vobis sortem et partem inter Sanctos suos, et nobis vobiscum et omnibus, qui sunt sub caelo, qui credituri sunt in Dominum nostrum jesum Christum, et in ipsius Patrem, qui, resuscitavit eum a mortuis». Σ. Μ.

(1) Τὸ ἑλληνικὸν πρωτότυπον τῆς ἐπιστολῆς οὐ διεσώθη μέχρις ἡμῶν ἀκέραιον. Ἐν τῇ ἀρχαίᾳ λατινικῇ μεταφράσει ἀναγινώσκεται ἅπασα. Ἡ ἐπιστολὴ αὕτη ἐξεδόθη ὑπὸ τοῦ Κοτελερίου (Patr. Apost. 1724), τοῦ Σμιθίου (Oxon. 1709), τοῦ Γαλλανδίου (B. P. 1760), τοῦ Ἑφέλη καὶ Ὀρνεμάννου (ἴδ. περὶ Κλήμ.)· ῥωσσιστὶ μετεφράσθη ἐν τῇ Χριστ. Ἀναγν. τῷ 1821· γερμανιστὶ ὑπὸ Wocher, Tübing. 1830.

(2) «Ὁ γέ τοι Πολύκαρπος ἐν τῇ δηλωθείσῃ πρὸς Φιλιππησίους αὐτοῦ γραφῇ κέχρηταί τισι μαρτυρίαις ἀπὸ τῆς Πέτρου προτέρας ἐπιστολῆς. πρβλ. ἐπ. 1,2,5,7,10. Hieron de vir illust. c. 17.

(3) Κατὰ αἱρέσ. γ΄. 30. ἴδ. σημ. 12.

στοῦ Ἰησοῦ, καὶ περὶ τῆς σημασίας τοῦ θανάτου Αὐτοῦ, καὶ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν.

Εἰρηναῖος ὁ τοῦ ἁγ. Πολυκάρπου μαθητής, μαρτυρεῖ, ὅτι: «ἐπέστειλεν ἤτοι ταῖς γειτνιώσαις ἐκκλησίαις, ἐπιστηρίζων αὐτάς, ἢ τῶν ἀδελφῶν τισι, νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος» (1)· ὁ δὲ Ἱερώνυμος ἐν ἑνὶ μὲν χωρίῳ (2) γράφει, ὅτι ὁ ἅγ. Πολύκαρπος ἔγραψε κατὰ τοῦ Ἐβίωνος, ἐν ἄλλῳ δὲ λέγει περὶ ἑαυτοῦ, ὅτι ἀνέθηκαν αὐτῷ τὴν μετάφρασιν τῶν ἐπιστολῶν τοῦ Πολυκάρπου, ἀλλ᾽ οὐκ ἐδέξατο, νομίσας ἑαυτὸν ἀνάξιον ἑρμηνεῦσαι εἰς ἄλλην γλῶσσαν τοιαῦτα ὑψηλὰ συγγράμματα (3). Ὁ ὅσιος Μάξιμος ποιεῖται μνείαν ἐπιστολῆς τοῦ ἁγ. Πολυκάρπου πρὸς τὴν ἐκκλησίαν τῶν Ἀθηνῶν (4). Νῦν ἐκτὸς τῆς πρὸς Φιλιππησίους ἐπιστολῆς, εἰσὶ γνωσταὶ ἐν ἀρχαίᾳ λατινικῇ φράσει ἀποκρίσεις τινὲς τοῦ ἁγίου Πολυκάρπου μετὰ διασαφήσεως ῥήσεών τινων τοῦ Σωτῆρος. Αἱ ἀποκρίσεις αὗται, διαπρέπουσαι ἐπὶ ἀποστολικῇ ἁπλότητι, εἰσὶν ἀξιοσημείωτοι ἰδίως διὰ τὴν πρὸς τοὺς λόγους τοῦ Κυρίου ἀγάπην, καθιστᾶσαν πολύτιμον τὴν ἀκριβῆ αὐτῶν σημασίαν. Ἐξ αὐτῶν ὁρῶμεν, ὅτι ἦσαν τότε γνωστὰ τὰ τέσσαρα Εὐαγγέλια, δηλ. τοῦ Ματθαίου, τοῦ Μάρκου, τοῦ Λουκᾶ, καὶ τοῦ Ἰωάννου (5). Αἱ ἀποκρίσεις ἀποτελοῦσι κατὰ

(1) Παρ᾽ Εὐσεβ. ἐκκλ. ἱστ. ε΄. 20.

(2) Lib. adv. Helvidium.

(3) Ep. LII ad Licinium.

(4) Εἰς Διονύσ. Ἀρεοπαγ. σελ. 7. ἐν προλ. Lambesius commentar. vindol. T. p. 187.

(5) Αἱ ἀποκρίσεις αὗται εὕρηνται ἐν τῇ συλλογῇ τῶν ἑρμηνειῶν τῶν Πατέρων, τῇ συνταχθείσῃ λατινιστὶ ὑπὸ τοῦ Καπύης ἐπισκόπου Βίκτορος τῷ 480. Τὸ πρῶτον ἐξέδωκεν αὐτὰς ἐν Παρισίοις τῷ 1575 ὁ Φραγκῖσκος Φεουαρδέντιος ἐν ταῖς σημειώσεσιν εἰς τὸ γ΄. βιβλίον τοῦ Εἰρηναίου, λαβὼν αὐτὰς ἐκ χειρογράφου πάνυ ἀρχαίου· ἔπειτα ἐξεδόθησαν ὑπὸ Κοτελερίου (Patr. Apostol.) καὶ τοῦ Γαλλανδίου (B. P. T. I.) Κατὰ τῆς γνησιότητος αὐτῶν προτείνουσι α) τό: *legitur* et in Dolio ferventis olei, pro nomine Christi beatus Joannes fuisse demersus». Ἀλλὰ καὶ ἂν παραδεχθῶμεν, ὅτι οἱ λόγοι οὗτοι οὐχ ἁρμόζουσι τῷ Πολυκάρπῳ, μακρὸν ζήσαντι μετὰ τὸν Ἰωάννην, ἔτι δὲ μακρότερον μετὰ τὸν Δομιτιανόν, καὶ τότε τὸ λάθος ἀποδοτέον μόνον τῷ ἀπογράφῳ τῆς λατινικῆς μεταφράσεως· 6) τοὺς λόγους περὶ τοῦ Ἀποστόλου Ἰακώβου τοῦ ἀδελφοῦ τοῦ Ἰωάννου: novissimus martyrio sublatus. ἀλλ᾽ ἐν τῷ ἑλληνικῷ πρωτοτύπῳ βεβαίως ἔκειτο ἡ λέξις *ἔσχατος* ὅπερ σημαίνει *πρῶτος* κατὰ τὸν Ἡσύχιον· καὶ ὅπερ ὁ μεταφραστὴς ὤφειλε μεταφράσαι διὰ τοῦ primus καὶ οὐχὶ διὰ τοῦ novissimus.

πᾶσαν πιθανότητα μέρος ἐκείνων τῶν διδασκαλιῶν τοῦ ἀποστολικοῦ ἀνδρός, ὧν ἀκροατὴς ἐγένετο ὁ ἅγιος Εἰρηναῖος. «Δύναμαι εἰπεῖν, γράφει ὁ μαθητὴς οὗτος τοῦ ἁγίου Πολυκάρπου, τὰς διαλέξεις, ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος . . . καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν (τῶν Ἀποστόλων), καὶ περὶ τοῦ Κυρίου τίνα ἦν, ἃ παρ' ἐκείνων ἠκηκόει . . . ἀπήγγελλε πάντα σύμφωνα ταῖς Γραφαῖς» (1). Ὁ ὅσιος Μάξιμος (2), ὁ Βέδας καὶ ὁ Ἄδων ποιοῦνται μνείαν βιβλίου αὐτοῦ, διδαχῆς καλουμένου, ὅπερ, ὡς πιθανόν, ἐστὶ τὸ αὐτὸ ταῖς μέχρις ἡμῶν ἀφικομέναις ἀποκρίσεσι (3).

§ 24. *Ἑρμᾶς.*

Ὡς σύγγραμμα ἀνδρὸς τῶν ἀποστολικῶν χρόνων ἦν γνωστὸν τοῖς ἀρχαίοις τὸ βιβλίον τοῦ Ἑρμᾶ ὀνομαζόμενον Ποιμήν, γνωστὸν ἔτι καὶ νῦν.

Ὁ Ὠριγένης ἐκλαμβάνει τὸν συγγραφέα Ἑρμᾶν ἀντ' ἐκείνου τοῦ Ἑρμᾶ, ὃν ἀσπάζεται ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (ις'. 14, (4). Ὁ Εὐσέβιος καὶ ὁ Ἱερώνυμος ἔχονται τῆς γνώμης, ἧς καὶ ἡ ἀρχαία παράδοσις (5). Ἦν τὸ μὲν γένος Ἕλλην,

(1) Παρ' Εὐσεβ. ἐκκλ. ἱστ. ε'. 20.

(2) Περὶ διαφ. ἀπορ. τῶν ἁγίων Διον.... Lambe, Comment. Vindol. T. 3. p. 187.

(3) Ἡ διήγησις τοῦ ἁγ. Πολυκάρπου περὶ τῆς τελευτῆς τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, σωζομένη ἔν τισι χειρογράφοις, ἐστὶν ἀναμφιβόλως νόθος.

(4) Lib. 10. comment. epist. ad Romanos v. 14. c. 16. «Puto, quod Hermas iste sit scriptor libelli illius qui *Pastor* appellatur, quae Scriptura valde mihi utilis videtur, et, ut puto, divinitus inspirata».

(5) Εὐσέβ. ἐκκλησ. ἱστορ. γ'. 3. «Ἐπεὶ δὲ ὁ αὐτὸς Ἀπόστολος ἐν ταῖς ἐπὶ τέλει προσρήσεσι τῆς πρὸς Ῥωμαίους μνείαν πεποίηται μετὰ τῶν ἄλλων καὶ Ἑρμᾶ, οὗ φάσιν ὑπάρχειν τὸ τοῦ Ποιμένος βιβλίον, κ.τ.λ.» Hieron. de vir. illustr. C. X. «Hermam, cujus Apostolus Paulus ad Romanos scribens meminit (XVI, 14), asserunt auctorem esse libri, qui appelatur *Pastor*, et apud quasdam Graeciae Ecclesias etiam publice legitur. Revera utilis liber, maltique de eo Scriptorum veterum usurpaverunt testimonia ; sed apud Latinos pene ignotus est».

ἀλλ' ἔζησεν ἐν Ρώμῃ (1)· εἶχε σύζυγον, ἐθνικὴν μέν, ἀλλὰ μέλλουσαν, ὡς ἤλπιζεν, ἀδελφὴν αὐτοῦ ἐν Κυρίῳ (2). Πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ περιέπεσε πολλάκις εἰς ἁμαρτήματα· ἐπέτρεψε δὲ ἐξ ὑπερβολικῆς πατρικῆς ἀγάπης τοῖς ἑαυτοῦ τέκνοις διάγειν βίον φαῦλον, ἐφ' ᾧ καὶ ἐτιμωρήθη· ἡ σύζυγος αὐτοῦ παρεῖχεν αὐτῷ δυσαρεστήσεις (3). Οὕτω διὰ τὰς ἁμαρτίας τῶν οἰκείων ὁ Κύριος ἐπήνεγκεν αὐτῷ βαρεῖαν δοκιμασίαν—ἐκ πλουσίου ἐγένετο πτωχός (4). Ἀλλὰ τιμωρῶν ὁ Κύριος, σύναμα καὶ ἠλέει αὐτόν, -ἐν τῷ καιρῷ τῆς μετανοίας παρέδωκεν αὐτὸν ἰδιαιτέρᾳ φυλακῇ ἀγγέλου (5), ὅς, ἐπιφαινόμενος αὐτῷ ἐν εἴδει ποιμένος, ἐδίδου αὐτῷ διδασκαλίας περὶ τοῦ πῶς δεῖ ζῆν, ἃς οὐ μόνον αὐτὸς ἐξεπλήρου ἀκριβῶς (6), ἀλλὰ καί, κατ' ἐπιταγὴν τοῦ αὐτοῦ ἀγγέλου, ἐξέθηκεν ἐγγράφως πρὸς κοινὴν ὠφέλειαν (7). Ὁ χρόνος τῆς τελευτῆς αὐτοῦ οὐκ ἔστιν ἀκριβῶς γνωστός, ἀλλὰ πιθανόν, ὅτι συνέβη περὶ τὸ 100ον σωτήριον ἔτος.

§ 25. *Τὸ βιβλίον αὐτοῦ — Ποιμήν.*

Ἡ ἀρχαία παράδοσις περὶ τοῦ συγγραφέως τοῦ βιβλίου τοῦ ἐπιγραφομένου Ποιμήν, ὡς γνωστοῦ τῷ Ἀποστόλῳ Παύλῳ βεβαιοῦται ὑπό τε τῆς ὑποθέσεως τοῦ βιβλίου, καὶ τῆς τιμῆς, ἧς ἀπήλαυεν τὸ βιβλίον ἐν τῇ ἐκκλησίᾳ. Ἐκ τοῦ βιβλίου-Ποιμὴν γίγνεται δῆλον, ὅτι ἐγράφη ἐν Ρώμῃ, ἐπισκόπου τῆς Ρώμης ὄντος τοῦ Κλήμεντος (8), μετὰ τὸ τέλος διωγμοῦ τινος (9), καὶ ἐν τῷ καιρῷ

(1) Herm. Pastor. lib. I. vision. I. c. I. «qui enutriverat me, vendidit quamdam puellam Romae... exeuto autem tempore, lavari eam in flumine Tiberi vidi».

(2) Lib. I. e. I. § 3.

(3) Αὐτόθ.

(4) Lib. I. c. 2. § 3.

(5) Lib. II. prolog.

(6) Lib. III. c. 10. § 2. 3.

(7) Lib. I. c. 3. § 12. 13.

(8) Ποιμ. l. I. Vis. II. c. 4. «Γράψεις οὖν δύο βιβλιδάρια, καὶ πέμψεις ἓν Κλήμεντι, καὶ ἓν Γραπτῇ.»

(9) Ὁ Ἑρμᾶς ποιεῖται ἤδη λόγον περὶ τῶν μαρτύρων, οἳ ὑπήνεγκαν «μάστιγας, φυλακάς, θλίψεις μεγάλας, σταυρούς, θηρία ἕνεκα τοῦ ὀνόματος τοῦ Θεοῦ· διὰ τούτων ἐκείνων ἐστὶ τὰ δεξιὰ μέρη τοῦ ἁγιάσματος, καὶ ὃς ἐὰν πάθῃ διὰ τὸ ὄνομα τοῦ Θεοῦ . . . »

ἑτέρου ([1]). Ὑποθετέον τοίνυν, ὅτι ἐγράφη ἐπὶ τοῦ δομιτιανείου διωγμοῦ περὶ τὸ 95 ἔτ., καὶ ἑπομένως συγγραφεὺς τοῦ βιβλίου, ὡς ἐξ αὐτοῦ ἐξάγεται, ἠδύνατο εἶναι ὁ Ἑρμᾶς, ὃν ἀσπάζεται ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ (ις΄. 14). Ἀφ' ἑτέρου δὲ γνωστόν, ὅτι πρὸ τοῦ Ὠριγένους ἔτι ὁ ἅγιος Εἰρηναῖος ([2]), ὁ Κλήμης ([3]), καὶ ὁ Τερτυλλιανός ([4]), ἐξέφερον ἤδη μαρτυρίας ἐκ τούτου τοῦ βιβλίου, ὡς βιβλίου τῶν ἀποστολικῶν χρόνων. Ἐντεῦ-

([1]) Ἐξεικονίζει τὸν διωγμὸν (vis. 4. c. 3. παρὰ Γαλλανδ. Τ. Ι. σ. 64) διὰ τῶν αὐτῶν χαρακτήρων, δι' ὧν ἐξεικόνισεν ὁ Τερτυλλιανὸς τὸν διωγμὸν τοῦ Δομιτιανοῦ (Apolog.V.)

([2]) Κατὰ αἱρέσ. κεφ. δ΄. 20. «Bene ergo pronuntiavit Scriptura, quae dicit: *primo omnium crede, quoniam unus est Deus, qui omnia constituit, et consummavit, et fec it ex eo, quod non erat*, ut essent omnia: omnium capax, et qui a nemine capiatur» (ἴδ. lib. II. mand. I.). Καὶ νομίζειν ἀδύνατον, ὅτι ὁ Εἰρηναῖος περὶ τὸ 190 ἔτ. ἠδύνατο καλεῖν Γραφὴν σύγγραμμα οὐκ ἀνῆκον εἰς ἀποστολικὸν ἄνδρα.

([3]) Στρωμ. βιβλ. ά. κεφ. 17. σελ. 369. ed Oxon. «Λέγει δὲ καὶ ὁ *Ποιμήν*, ὁ ἄγγελος τῆς μετανοίας τῷ Ἑρμᾷ, περὶ τοῦ ψευδοπροφήτου. *Τινὰ γὰρ ῥήματα ἀληθῆ λαλεῖ. Ὁ γὰρ διάβολος αὐτὸν πληροῖ τῷ ἑαυτῷ πνεύματι, εἴ τινα δυνήσεται ῥῆξαι τῶν δικαίων*· αὐτόθ. κεφ. 29. σελ. 426: «Θείως τοίνυν ἡ δύναμις ἡ τῷ Ἑρμᾷ κατὰ Ἀποκάλυψιν λαλοῦσα. *Τὰ ὁράματά* φησι, *καὶ τὰ ἀποκαλύμματα, διὰ τοὺς ἀψύχους, τοὺς διαλογιζομένους ἐν ταῖς καρδίαις αὐτῶν, εἰ ἄρα ἐστὶ ταῦτα, ἢ οὐκ ἔστι*. αὐτόθ. βιβλ. β΄. κεφ. 1. σελ. 430: «Φησὶ γὰρ ἐν τῷ ὁράματι τῷ Ἑρμᾷ ἡ Δύναμις, ἡ φανεῖσα: «*Ὃ ἐὰν ἐνδέχηται ἀποκαλυφθῆναι, ἀποκαλυφθήσεται*». αὐτόθ. κεφ. 9. σελ. 596, 597. βιβλ. ς΄. κεφ. 15. σελ. 806. Τὸ σύγγραμμα τοῦτο τοῦ Κλήμεντος ἐγράφη τῷ 194.

([4]) De Oratione c. 12: «Quod assignata oratione assidendi mos est quibus dam, non perspicio rationem, nisi si Hermas ille, cujus Scriptura fere *Pastor* in scribitur, transacta oratione, non super lectum assedisset, verum aliud quid fecisset, id quoque adobservationem vindicaremus. Utique non. Simpliciter enim et nunc positum est: *cum adorassem et assedissem super lectum*· ad ordinem narrationis, non ad instar disciplinae. Alio quin nusquam erit adorandum, nisi ubi fecerit lectus· imo contra Scripturam fecerit, si quis in cathedra, aut subsellio sederit». Τὸ σύγγραμμα τοῦτο ἐγράφη τῷ 196.

θεν ἡ μαρτυρία ἀγνώστου, ἢ καὶ ἀρχαίου ρωμαίου συγγραφέως, ὅτι τὸ βιβλίον τοῦτό ἐστιν ἔργον Ἑρμᾶ, τοῦ ἀδελφοῦ Πίου τοῦ Α΄. οὐδαμῶς ἔχεται ὀρθότητος (1).

Τὸ βιβλίον Ποιμὴν κατὰ τὸν προορισμὸν αὐτοῦ ἐστιν ἐγκύκλιος ἐπιστολή, συγγραφεῖσα ἑλληνιστὶ δι᾿ἁπλοῦ ἑλληνικοῦ ὕφους καὶ διεσώθη ὁλόκληρον μόνον ἐν τῇ ἑλληνικῇ μεταφράσει (2).

Ἡ ὑπόθεσις αὐτοῦ ἐστιν ἱστορικὴ ἅμα καὶ ἠθική.

Τὸ πρῶτον βιβλίον τοῦ συγγράμματος τούτου διαιρεῖται εἰς τέσσαρας ὁράσεις. Ἐν τῇ πρώτῃ τούτων ἐδείχθησαν τῷ Ἑρμᾷ αἱ ἁμαρτίαι αὐτοῦ. Ἐν τῇ δευτέρᾳ ἐδόθησαν αὐτῷ διδασκαλίαι περὶ μετανοίας, ἀθωότητος καὶ ἁπλότητος, καὶ ἐπιτάσσεται ἀναγγεῖλαι, ὅτι «μεγάλη θλίψις ἔρχεται». Ἐν τῇ τρίτῃ ἐδείχθη αὐτῷ πύργος μέγας οἰκοδομούμενος ἐφ᾿ὑδάτων λίθοις τετραγώνοις λαμπροῖς, καὶ ἐδηλώθη, ὅτι ὁ πύργος οὗτός ἐστιν ἡ ἐκκλησία. Ἐν τῇ τετάρτῃ ἐμφανίζεται θηρίον μέγιστον, ἕτοιμον ἵνα καύσῃ ὁλόκληρον πόλιν καὶ Ἄγγελος ἐξουδετερῶν τὰς ἐνεργείας αὐτοῦ. Ἐν δὲ τῇ ἑρμηνείᾳ τῆς ὁράσεως ὁ Ἑρμᾶς διετάχθη εἰπεῖν τοῖς ἐκλεκτοῖς Κυρίου, ὅτι τὸ θηρίον τοῦτό ἐστι τύπος τῆς μελλούσης μεγάλης θλίψεως, καὶ ὅτι ἐὰν προετοιμασθῶσι καὶ μετανοήσωσι ἐξ ὅλης καρδίας, δυνήσονται ἐκφυγεῖν αὐτήν.

Τὸ δεύτερον βιβλίον περιέχει τὰς δώδεκα ἐντολάς, ἃς ὁ Ποι-

(1) Τὸ σύγγραμμα τοῦ ἀγνώστου τούτου συγγραφέως εὗρεν ὁ Μουρατόριος, καὶ ἐξέδωκεν ὁ Γαλλάνδιος (B. P. T. II. p. 208), καὶ ὁ Ρούθιος (Reliquiae S. T. 4. p. 5. 30-33), πρβλ. σημ. 17.

(2) Τὸ νῦν λατινικὸν κείμενον τοῦ Ποιμένος αὐτὸ ἀφ' ἑαυτοῦ δείκνυσιν, ὅτι τὸ βιβλίον ἐγράφη ἑλληνιστί. Ὁ Ἱερώνυμος λέγει (catal. 20), ὅτι ἦν μᾶλλον γνωστὸν τοῖς Ἕλλησιν, ἢ τοῖς Λατίνοις. Δυστυχῶς ἡ λατιν. μετάφρασίς ἐστιν οὕτω σκοτεινή, ὥστε χωρία τινὰ ἀδύνατον ἐννοηθῆναι. Ἦν ἤδη γνωστὴ τῷ Τερτυλλιανῷ, καὶ πιθανόν, ὅτι ὁ τοῦ Πίου Α΄. ἀδελφὸς Ἑρμᾶς ἦν ὁ μεταφραστής. Ἐκ τούτου τινὲς ὑπέλαβον ὡς συγγραφέα τὸν αὐτὸν Ἑρμᾶν. Ἱκανὰ χωρία τοῦ ἑλληνικοῦ κειμένου τοῦ βιβλίου τούτου διεσώθησαν ἐν ταῖς ὁμιλίαις τοῦ Ἀντιόχου καὶ ἐν τῷ ὑποβολιμαίῳ βιβλίῳ τοῦ Ἀθανασίου πρὸς τὸν ἡγεμόνα Ἀντίοχον (Op. S. Athan. ex ed. Montfaucon. T. 2. p. 292. Fabric. Bibl. Gr. T. 5). Ἄρισται ἐκδόσεις εἰσὶν ἡ τοῦ Κοτελερίου (P. Apost. 1724), ἡ τοῦ Γαλλανδίου (T. I. p. 1788), καὶ ἡ τοῦ Ἐφέλη (P. Ap. op. Tübingæ 1824. 8.).

μὴν τουτέστιν ὁ ἄγγελος, ᾧ παρεδόθη, ἐνετείλατο τῷ Ἑρμᾷ γράψαι, οἷον περὶ φόβου Θεοῦ, περὶ εὐσπλαγχνίας, περὶ ἀληθείας ἐν τοῖς λόγοις, περὶ μετανοίας, κτλ.

Τὸ τρίτον βιβλίον περιέχει τὰς παραβολάς, ἃς ὁ ἄγγελος εἶπε τῷ Ἑρμᾷ, δι' ὧν ἑρμηνεύονται κατὰ τὸ πλεῖστον μέρος ἠθικαὶ διδασκαλίαι. π. γ. ὁ πλούσιος, ὁ ταῖς δεήσεσι τοῦ πτωχοῦ ἐπιρρωνύμενος, παραβάλλεται πρὸς ἄμπελον ἐπὶ πτελέας κρεμαμένην.

Περὶ τῆς ἀξίας τοῦ βιβλίου τούτου ἀποφαίνεται ὁ μέγας Ἀθανάσιος ὧδε: «ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μέν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον· Σοφία Σολομῶντος. . . καὶ ὁ Ποιμήν» [1]. Ἡ αὐτὴ τῆς ἀρχαίας ἐκκλησίας γνώμη περὶ τοῦ βιβλίου τούτου δείκνυται ἐκ τῶν λόγων τοῦ Εὐσεβίου καὶ Ἱερωνύμου [2].

[1] Ἐπ. πασχάλ. Τ. 2. σελ. 963 (39-40). Ἐν τῷ λόγῳ περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου λέγει: «ἡ δὲ ἔνθεος διδασκαλία, καὶ ἡ κατὰ Χριστὸν πίστις—φησὶ διὰ μὲν Μωϋσέως—διὰ δὲ τῆς ὠφελιμωτάτης βίβλου τοῦ Ποιμένος: *πρῶτον πάντων πίστευσον, ὅτι εἷς ἐστιν ὁ Θεός, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας, καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι*».

[2] Ὁ Εὐσέβιος: «Ἐπεὶ δὲ ὁ αὐτὸς Ἀπόστολος ἐν ταῖς ἐπὶ τέλει προσρήσεσι τῆς πρὸς Ρωμαίους μνήμην πεποίηται μετὰ τῶν ἄλλων καὶ Ἑρμᾶ, οὗ φάσιν ὑπάρχειν τὸ τοῦ *Ποιμένος* βιβλίον, ἰστέον, ὡς καὶ τοῦτο πρὸς μέν τινων ἀντιλέλεκται, δι' οὓς οὐκ ἂν ἐν ὁμολογουμένοις τεθείη, ὑφ' ἑτέρων δὲ ἀναγκαιότατον οἷς μάλιστα δεῖ στοιχειώσεως εἰσαγωγικῆς κέκριται. Ὅθεν ἤδη καὶ ἐν ἐκκλησίαις ἴσμεν αὐτὸ δεδημοσιευμένον, καὶ τῶν παλαιτάτων δὲ συγγραφέων κεχρημένους τινὰς αὐτῷ κατείληφα» ἐκκλησ. ἱστ. γ'. 3). Ὁ ἱστορικὸς ἐκφράζεται ἐνταῦθα οὐκ' ἀκριβῶς· διότι οἱ μὴ παραδεχόμενοι τὸ βιβλίον τοῦτο ὡς κανονικόν, οὐκ ἠρνοῦντο, ὅτι ἦν ὠφέλιμον τοῖς ἐν τῇ πίστει κατηχουμένοις, ὅτι δηλ. ἦν λυσιτελέστατον ἐν τῇ ἐξηγήσει τῶν στοιχειωδῶν τῆς πίστεως ἀληθειῶν. Τοῦτο ἦν ἡ γενικὴ γνώμη τῶν ἀρχαίων ὡς δηλοῦται ἐκ τῶν λόγων τοῦ Ἀθανασίου, τοῦ Ἱερωνύμου (de vir. illustr. c. 10.) καὶ τοῦ Ρουφίνου Comment. in Symb. Apostol. num. 38. p. 110 ed. Veron. 1745). Ἡ δὲ γνώμη, ἡ θεωροῦσα τὸ βιβλίον τοῦτο κανονικὸν ἀνῆκεν εἰς μόνον τὸν Ὠριγένην, ὃς καὶ ἀποφαίνεται περὶ τούτου ἐν εἴδει ἀτομικῆς γνώμης. Τὸ βιβλίον, λέγει, ἐστὶν ὠφέλιμον, καὶ ὡς ἐμοὶ δοκεῖ, *θεόπνευστον*. Ἀλλ' ἡ γνώμη αὕτη οὐκ ἔστιν θετική. διότι αὐτὸς ὁ Ὠριγένης ἀλλαχοῦ λέγει: «Et in libello *Pastoris*; si cui tamen Scriptura illa recipienda videtur, similia, designantur» (Homil. VIII. in Numeros· περὶ ἀρχ. κεφ. γ'. 3. ὑπὸ μνημ. εἰς Ματθ. κεφ. ιδ'.).

Οἱ ἀρχαῖοι διδάσκαλοι ἠξίουν τὸ βιβλίον τοῦτο ἰδιαιτέρας προσοχῆς [1]. Ἀλλὰ τὸ ὄνομα ἐκείνου, ὃν ὁ Ἀπόστολος τῶν ἐθνῶν ἠσπάζετο μόνον ἐν ἐπιστολῇ, ἀναμφιβόλως οὐ δηλοῖ ἄνδρα ἄπταιστον, ἢ ἄνευ ἰδίων δοξασιῶν. Αὐταὶ αἱ ὁράσεις τοῦ Ἑρμᾶ, ἅτε δὴ οὖσαι ἔργον συνήθους ἀνθρώπου, οὐ δύνανται ἔχειν τὴν ἀξίαν ἐκείνην, ἣν εἶχον αἱ τῶν Ἀποστόλων [2].

Ἅπαν τὸ δεύτερον βιβλίον—τὸ τῶν ἐντολῶν, περιέχει ἀξιολόγους ἠθικὰς διδασκαλίας· οὐχ ἧττον δὲ καὶ τὸ τρίτον.

Ἐν τῇ πέμπτῃ παραβολῇ λέγει, ὅτι ὁ Χριστὸς ἔζησεν ἐν μορφῇ δούλου, ἔπαθεν, ἀπέθανε διὰ τὰς ἁμαρτίας ἡμῶν [α]. Ἐν τῇ ἐννάτῃ παρίστησι τὴν ἀνάγκην τῆς εἰς τὸν Ἰησοῦν Χριστὸν πίστεως. Δεικνὺς τὴν ἐκκλησίαν ὑπὸ τὸ εἶδος πύργου ᾠκοδομημένου ἐπὶ πέτρας, λέγει: «Petra haec et porta, Filius Dei est... in illam urbem non potest intrari, quam per portam ejus». Ἐνταῦθα γράφει ὡσαύτως: «Filius quidem Dei omni creatura antiquior est, ita ut in consilio Patri suo adfuerit ad condendam creaturam... Nomen Filii Dei magnum et im-

---

(1) Ὁ ἅγ. Εἰρηναῖος (κατὰ αἱρέσ. δ'. 20.) καὶ ὁ Ἀθανάσιος (Λόγ. περὶ τῆς ἐνανθρωπ. τοῦ Λόγου) Χρῶνται τῷ βιβλίῳ τούτῳ πρὸς ὑποστήριξιν τοῦ ὅτι ὁ Θεός ἐστιν ὁ Δημιουργὸς τοῦ κόσμου. Ὁ αὐτὸς Ἀθανάσιος (τῆς ἐν Νικ. συν. τὰ ὁρισθ. Τ. Ι. σελ. 211). Κλήμης ὁ Ἀλεξανδρεὺς καὶ Τερτυλλιανὸς ἐπάγονται ἐξ αὐτοῦ χωρία πρὸς ὑποστήριξιν ἠθικῶν κανόνων. Ἴδ. ἔτ. Μάξιμον (εἰς Διονύσιον Ἀρεοπαγ. περὶ θείων ὀνομάτων, κεφ. δ'.) φέροντα εἰς μαρτυρίαν τὸν *Ποιμένα* μετὰ τῶν προφητειῶν τοῦ Δανιήλ. Οἱ Ἀρειανοὶ ἐνόμιζον, ὅτι εὗρον ἐπιχείρημα ὑπὲρ ἑαυτῶν ἐν οἷς λέγει περὶ τοῦ Ἑνὸς Δημιουργοῦ τοῦ κόσμου. Ἀλλ' ὁ ἅγ. Ἀθανάσιος, σημειώσας, ὅτι τὸ βιβλίον οὐκ ἐστι κανονικόν, ὀρθῶς εἶπε, καὶ ὅτι οὐ λέγεται ἐν αὐτῷ περὶ κτίσεως τοῦ Υἱοῦ. (Τ. Ι. σελ. 223, 224.)

(2) Hier. «unde et in libro Pastoris, si cui tamen placet illius recipere lectionem, Hermae primum videtur ecclesia cano capite· deinde adolescentula et sponsa crinibus adornata». Lib. II. comment. in Osee ad cap. VII. 9. Lib. I. vis. I. c. 2. vis. II. c. I, 4. vis. III. c. I, 10. et vis. IV. c. 2.

[α] Similitud. V. 5. 6.

mensum est, et totus ab eo sustentatur orbis». Τὸ τριαδικὸν τῶν προσώπων τῆς Θεότητος δείκνυται παρὰ τῷ Ἑρμᾶ διὰ σαφῶν ἐκφράσεων (1). Ἡ ἕνωσις τῆς Θεότητος μετὰ τῆς ἀνθρωπότητός ἐν τῷ Ἰησοῦ Χριστῷ παρίσταται ὑπὸ τοῦ Ἑρμᾶ κατὰ τὸ δοκοῦν αὐτῷ. Τὴν μὲν ἀνθρωπίνην φύσιν τοῦ Σωτῆρος καὶ τὸ πάθος αὐτῆς παρίστησιν ἐν καταστάσει δούλου· τὴν δὲ Θεότητα Αὐτοῦ ὀνομάζει Πνεῦμα ἐνεργοῦν ἐν τῇ ἀνθρωπότητι καὶ δοξάζον αὐτήν (2). Ὁ Ἑρμᾶς ποιεῖται λόγον περὶ τῶν ἀγγέλων καὶ ἰδίως περὶ τοῦ φύλακος ἀγγέλου (3)

---

(1) Similitud. V. c. 5. περὶ τοῦ ἁγ. Πνεύματος Mand. XI. περὶ τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ Similitud IX. lib. III. c. 12. V. c. 6. lib. III.

(2) Ἑρμηνεύων τὴν περὶ τοῦ ἀγροῦ παροιμίαν λέγει: «Orbem terrarum fundus ille significat, qui in Similitudinem est positus. Dominus autem fundi demonstratur esse is, qui creavit cuncta (δηλ. ὁ Πατὴρ) et consummavit, et virtutem illis dedit. Filius autem Spiritus Sanctus est· servus vero ille Fillius Dei est». Ὁ σύνδεσμος τῶν ἐννοιῶν δείκνυσιν, ὅτι αἱ λέξεις *Δοῦλος* καὶ *Πνεῦμα* ἀναφέρονται πρὸς ἕνα καὶ τὸν αὐτὸν Χριστὸν Ἰησοῦ. Ὁ Ἑρμᾶς ἐννοεῖ ὑπὸ τὴν λέξιν *δοῦλος* τὴν ἀνθρωπίνην φύσιν τοῦ Χριστοῦ Ἰησοῦ, ὑπὸ δὲ τὴν λέξιν *Πνεῦμα* τὴν θείαν Αὐτοῦ φύσιν. Διότι προστίθησι: «Hoc ergo corpus, in quod inductus est Spiritus Sanctus (δηλ. ἡ Θεία φύσις) servivit illi Spiritui . . . Cum igitur corpus illud paruisset omni tempore Spiritui Sancto (δηλ. ἡ ἀνθρωπίνη φύσις ὑπετάσσετο τῇ Θείᾳ), recteque et caste laborasset cum eo, nec succubuisset in omni tempore . . . in consilio advocavit ergo Filium (δηλ. τὸν Χριστὸν παθόντα ἐν τῇ ἀνθρωπίνῃ φύσει) . . . ut et huic, scilicet corpori, quod servivit Spiritui Sancto sine querela, locus aliquis consitendi daretur, ne videretur mercedem servitutis suae perdidisse».

(3) Herm. Past. Vis. III. c. 4. VIII. c. 3. III. c. 6. III. c. 5. Lib. II. mand. VI. c. 2. VII. c. I. Lib. I. vis. IV. c. 2.

περὶ τῶν μυστηρίων τοῦ βαπτίσματος, τῆς μετανοίας, καὶ τοῦ γάμου (1).

§ 26. *Ὁ ἅγιος Βαρνάβας—συγγραφεὺς ἐπιστολῆς.*

Ἐν τοῖς ὀλίγοις λειψάνοις τῆς πρώτης χριστιανικῆς φιλολογίας, τοῖς διασωθεῖσιν ἡμῖν, εὑρίσκεται ἐπιστολή τις, ἀποδιδομένη τῷ Ἀποστόλῳ Βαρνάβᾳ.

(1) Περὶ τοῦ βαπτίσματος Simil. IX. c. 16. «Antequam accipiat homo nomen Filii Dei, morti destinatus est: at ubi accepit illud sigillum, liberatura morte, et traditur vitae. Illud autem sigillum aqua est, in quam descendunt homines morti obligati, ascendunt vero vitae assignati». Περὶ τῆς μετανοίας: «Domine, λέγει αὐτῷ ὁ Ἑρμᾶς, audivi a quibus dam doctoribus, qnod alia poenitentia non est, nisi illa, quum in aquam descendimus et accipimus remissionem peccatorum nostrorum; it ut nos non debeamus ulterius peccare (μετὰ τὴν ὑποδοχὴν τούτου τοῦ μυστηρίου). Hoc verum utique est, ἀπεκρίνατο αὐτῷ ὁ Ποιμήν, recte audisti· ἀλλ' ἔπειτα δείκνυσιν αὐτῷ, ὅτι τὸ βάπτισμα οὐκ ἔστι κυρίως μετάνοια, ἀλλ' ἄφεσις· ἡ δὲ μετάνοια δίδοται μόνον ἐκείνοις, οἵ, γενόμενοι χριστιανοί, ὑπέπεσον εἰς ἁμαρτίας. Et ideo dico tibi, λέγει αὐτῷ ὁ Ποιμήν, quod post vocationem illam magnam et sanctam, si quis tentatus fuerit a diabolo, et peccaverit, unam poenitentiam habet· si autem subinde peccet et poenitentiam agat, non proderit homini talia agenti. Difficile enim vivet Deo» (Past. Mandat. IV. c. 3.) πρβλ. Simil. VI. c. 2, 3. IX. c. 6. Περὶ τοῦ γάμου: «Quod si demiserit (vir) mulierem suam et aliam duxerit, etipse moechatur . . . ergo non debet, dimissa conjuge sua, vir aliam ducere. Hic actus similis est et in viro et in muliere». (Mand. IV. c. I.) «Si vir vel mulier alicujus decesserit, et nupserit aliquis illorum, nunquid peccat? Qui nubit, non peccat, inquit, sed si per se manserit, magnum sibi apud Dominum conquirit honorem.—Serva ergo castitatem et pudicitatem et vives Deo». Mand. IV. c. 4.

Ὁ ἅγιος Βαρνάβας ἦν τὸ γένος Κύπριος καὶ Λευΐτης [α]. Ἐκ τῆς πρὸς τὸν Ἰησοῦν Χριστὸν ἀγάπης ἔδωκεν ἅπασαν τὴν ἑαυτοῦ περιουσίαν τοῖς Ἀποστόλοις εἰς κοινὴν ὠφέλειαν ([1]). Πρῶτος ὁ Βαρνάβας συνέστησε τὸν Σαῦλον, φοβερὸν τέως καὶ κατὰ τὸ ὄνομα εἰς τὴν κοινότητα τῶν χριστιανῶν (Πράξ. θ΄. 26, 27). Γνωστὸς δὲ ὢν διὰ τὴν πίστιν καὶ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, ἐξαπεστάλη εἰς Ἀντιόχειαν ὑπὸ τῶν Ἀποστόλων, κυβερνήσων τὴν ἐκκλησίαν

[α] Ὁ Εὐαγγελιστὴς Λουκᾶς, μνείαν ποιούμενος τοῦ Βαρνάβα ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων (κεφ. δ΄. 36, 37), καλεῖ αὐτὸν *Ἰωσῆν*, ὃς μετωνομάσθη ὑπὸ τῶν Ἀποστόλων *Βαρνάβας, Λευΐτην, Κύπριον τῷ γένει*. Ἦν τοίνυν ἐκ τῆς φυλῆς τῶν Λευϊτῶν, ἐκ γονέων τὴν νῆσον Κύπρον οἰκούντων.— Οἱ Λευῖται ἦσαν διεσπαρμένοι ἀνὰ πᾶσαν τὴν Παλαιστίνην καί, ὡς ἐκ τοῦ χωρίου τούτου γίγνεται δῆλον, εἰς ἄλλας χώρας. Ἡ Κύπρος ὑπετάγη ὑπὸ τοῦ Αὐγούστου τῷ ρωμαϊκῷ κράτει κατὰ τὸν αὐτὸν χρόνον, καθ᾽ ὃν οἱ Ῥωμαῖοι κατέκτησαν τὴν Συρίαν, τὴν Φοινίκην κτλ. Ἀλλὰ πολλῷ χρόνῳ ὕστερον, ὁ Αὔγουστος χαριζόμενος τῷ ρωμαϊκῷ λαῷ, παρεχώρησεν αὐτῷ τὴν Κύπρον, ἣν διεφύλαξεν ἑαυτῷ· καὶ τοιούτῳ τρόπῳ ἐγένετο ρωμαϊκὴ ἐπαρχία (πρβλ. Tillemont. Histoire des Emp. t. I. p. 3. Brux. 1732). Τῆς Κύπρου προΐστατο Ἀνθύπατος καὶ οἱ Ῥωμαῖοι ἐν ἡσυχίᾳ κατεῖχον τὴν νῆσον μέχρι τοῦ χρόνου, καθ᾽ ὅν, αὐτοκράτορος ὄντος τοῦ Τραϊανοῦ, οἱ Ἰουδαῖοι διήγειραν στάσιν, περὶ ἧς λέγει ὁ Ἱερώνυμος ἐν τῷ χρονικῷ τοῦ Εὐσεβίου «Salaminem Cypri, interfectis in ea gentibus, subvertere Judaei». Τὴν τόλμην ταύτην ἐτιμώρησε πάνυ αὐστηρῶς ὁ Τραϊανός, διότι, ὅτε ἐπανήνεγκε τὴν νῆσον εἰς τὴν ἐξουσίαν αὐτοῦ, ἐφονεύθησαν 240 χιλιάδες Ἰουδαίων (πρβλ. Coteler. Epist. Barn. in Patr. Apost. ed Clerico). Ὅτι ὁ ἀριθμὸς τῶν Ἰουδαίων ἐν Κύπρῳ ἦν πάνυ πολὺς ἐξάγεται ἐκ τῶν συναγωγῶν, ἃς εἶχον ἐνταῦθα (Πράξ. ιγ΄. 5). Πιθανόν, ὅτι οἱ πρόγονοι τοῦ Βαρνάβα ἦσαν ἐκ τῶν Ἰουδαίων, οἵτινες ἐπὶ τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ἢ ἐπὶ Πομπηΐου ὑποτάξαντος τὴν Ἰουδαίαν, ἤχθησαν αἰχμάλωτοι εἰς Κύπρον, ἢ ἑκουσίως κατέφυγον ἐκεῖσε (Dionys. Carthusianus. Comm. in Ap. Act. cap. 4. Cave Apost. Mamnen. Utrecht. 1698. Salmasius ad Act. 4· 37). Σ. Μ.

([1]) Πράξ. δ΄. 32. 37. Κατὰ Κλήμεντα τὸν Ἀλεξανδρέα (Στρωμ. βιβλ. β΄. κεφ. 20. σελ. 489 ed. Pott.), τὸν Εὐσέβιον (ἐκκλησ. ἱστορ. βιβλ. α΄. κεφ. 12), καὶ τὸν Ἐπιφάνιον (αἱρ. κ΄. 4), ὁ Βαρνάβας ἦν εἷς τῶν ἑβδομήκοντα τοῦ Κυρίου μαθητῶν.

αὐτῆς. (Πράξ, ιά. 22): Μετὰ μικρὸν δὲ μετὰ τοῦ Παύλου ἐστάλη ἵνα κηρύξη τὸ εὐαγγέλιον εἰς τοὺς ἐθνικοὺς (αὐτόθ. ιά. 25). Ὁ Βαρνάβας καὶ ὁ Σαῦλος ἤνεγκον εἰς Ἱερουσαλὴμ περὶ τὸ 40ον ἔτ. τὸ ἐν Ἀντιοχείᾳ συναθροισθὲν ἀργύριον (αὐτόθ. ιά. 30). Ἀμφότεροι τῷ 45 καὶ 46 ἔτ. κηρύττοντες τὸ ὄνομα τοῦ Κυρίου, διῆλθον τὴν Κύπρον καὶ τὴν μικρὰν Ἀσίαν (αὐτόθ. ιγ΄. καὶ ιδ΄.). Μετὰ τὴν εἰς Ἀντιόχειαν ἐπάνοδον (τῷ 50 ἔτ.) ἡ στάσις τῶν ψευδῶν ὀπαδῶν τοῦ Μωϋσέως παρέσχε τῷ Βαρνάβᾳ καὶ τῷ Παύλῳ ἀφορμὴν δεῖξαι τὴν ἐλευθερίαν τοῦ εὐαγγελικοῦ πνεύματος. Ὁ Βαρνάβας ἔλεγεν, ὅτι οὐ δεῖ ἐπιτιθέναι τὸν ζυγὸν τοῦ Μωϋσέως τοῖς εἰς τὴν πίστιν ἐπιστραφεῖσιν ἐθνικοῖς. Ἡ ἐκκλησία τῆς Ἀντιοχείας ἔπεμψε τότε αὐτόν τε καὶ τὸν Παῦλον, ἵνα καθυποβάλωσι τὴν ὑπόθεσιν εἰς τὴν σύνοδον τῶν Ἀποστόλων (Πράξ. ιέ. 2. καὶ καθ.—Γαλ. 6΄. 1, 9). Ὀλίγου χρόνου παρελθόντος, ὁ Βαρνάβας καὶ ὁ Παῦλος προὐτίθεντο ποιήσασθαι δευτέραν ἀποστολικὴν πορείαν, ἀλλά, γενομένης διαφωνίας ἕνεκα τοῦ Μάρκου, ὁ Βαρνάβας ἀπεχωρίσθη τοῦ Παύλου [6], καὶ παραλαβὼν τὸν Μάρκον ἐξέπλευσεν εἰς Κύπρον (Πράξ. ιέ. 37 καὶ καθ.). Τῷ 54ῳ ἔτ. ὁρῶμεν πάλιν αὐτὸν ἐν Ἀντιοχείᾳ μετὰ τοῦ Παύλου. Ἐνταῦθα, ἀπερισκέπτως καὶ μέχρις ὑποκρίσεως μιμούμενος τὸν Πέτρον, ἠλέγχθη ὑπὸ τοῦ Παύλου (Γαλ. 6΄. 13). Τῷ 56ῳ ἔτ. ὁ διδάσκαλος τῶν ἐθνῶν ἀπεφήνατο μετὰ σεβασμοῦ περὶ τῶν ἀγώνων τοῦ Βαρνάβα (Α΄. πρὸς Κορινθ. θ΄. 6). Πόσον χρόνον μετὰ ταῦτα παρετάθη ἡ ἱερὰ αὐτοῦ διακονία ἄδηλον, γνωστὸν δὲ μόνον, ὅτι τὸν τελευταῖον χρόνον τῆς διακονίας αὐτοῦ διῆλθεν ἐν Κύπρῳ, ἔνθα

[6] Περὶ τοῦ ἀποχωρισμοῦ τούτου λέγει ὁ θεῖος Χρυσόστομος τάδε: «Ἐμοὶ δοκεῖ καὶ κατὰ σύνεσιν γεγενῆσθαι τὸν χωρισμὸν καὶ πρὸς ἀλλήλους εἰπεῖν· ὅτι ἐπειδὴ ἐγὼ οὐ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μαχώμεθα, διανεμώμεθα τοὺς τόπους». Καὶ περαιτέρω. «Ἠδεῖτο τὸν Βαρνάβαν ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἅτε κεκοινωνηκότα ἐν τοσούτοις αὐτῷ, καὶ μετ' αὐτοῦ ὄντα, ἀλλ' οὐχ οὕτως ἠδεῖτο, ὥστε καὶ παριδεῖν τὸ δέον. Τίς μὲν οὖν ἄμεινον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι».— «Τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; μὴ γένοιτο, ὁρᾷς γὰρ μετὰ τοῦτο Βαρνάβαν, πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἐπιστολαῖς. Παροξυσμὸς ἐγένετο, οὐκ ἔχθρα, οὐδὲ φιλονεικία» (ὁμιλ. λδ΄. εἰς τὰς Πράξ. σελ. 262). Σ. Μ.

ἀνεδήσατο τὸν στέφανον τοῦ μαρτυρίου, καὶ ἔνθα ἐς ὕστερον εὑρέθη τὸ ἅγιον αὐτοῦ λείψανον, ἔχον ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐν τῇ ἑβραϊκῇ γλώσσῃ. Ἐκ τῆς ὑποθέσεως τῆς ἐπιστολῆς αὐτοῦ δῆλον, ὅτι ἐξεδήμησε πρὸς Κύριον οὐχὶ πρὸ τοῦ ἑβδομηκοστοῦ δευτέρου ἔτους. (1).

§ 27. *Ἐπιστολὴ αὐτοῦ.*

Τὴν νῦν γνωστὴν ἐπιστολὴν τοῦ Βαρνάβα ἐγνώριζον ὅ τε Κλήμης ὁ Ἀλεξανδρεὺς καὶ ὁ Ὠριγένης, οἵτινες θετικῶς ἀποκαλοῦσιν αὐτὴν ἐπιστολὴν τοῦ Ἀποστόλου Βαρνάβα (2). Ὁ μακάριος Ἱερώνυμος ἔγραψε: «Βαρνάβας Κύπριος, ὁ καὶ Ἰωσὴφ Λευΐτης, μετὰ Παύλου τῶν ἐθνῶν Ἀπόστολος κατασταθείς, μίαν πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας ἐπιστολὴν συνέταξεν, ἣ ἐν ταῖς ἀποκρύφοις Γραφαῖς

(1) Θεόδωρος ὁ Ἀναγν. (ἐκκλησ. ἱστορ. βιβλ. β'.), Ἀλέξανδρος, μοναχὸς Κύπριος (ἐν τῷ πανηγυρ. λόγ. εἰς τὸν ἅγ. Βαρνάβαν) καὶ ὁ Μανζόχιος (Comment. in vet. marmor. Calend. p. 570-572) λίαν πιθανῶς νομίζουσιν, ὅτι ὁ ἅγιος Βαρνάβας ἐτελεύτησε τῷ 76 ἔτ.

(2) Ὁ Κλήμης: «Ἀλλὰ καὶ Βαρνάβας, ὁ καὶ αὐτὸς συγκηρύξας τῷ Ἀποστόλῳ, κατὰ τὴν διακονίαν τῶν ἐθνῶν, τὸν λόγον, *ἁπλούστερον*, φησίν, *ὑμῖν γράφω, ἵνα συνίητε*. Εἶθ' ὑποβάς, ἤδη σαφέστερον γνωστικῆς παραδόσεως ἴχνος παρατιθέμενος, λέγει. *Τί λέγει ὁ ἄλλος προφήτης Μωϋσῆς αὐτοῖς; Ἰδοὺ τάδε λέγει Κύριος ὁ Θεός· εἰσέλθετε εἰς τὴν γῆν τὴν ἀγαθὴν κτλ.* Στρωμ. βιβλ. ε'. κεφ. 10. σελ. 683. ἐπιστ. κεφ. β'. ἴδ. Στρωμ. ε'. 8. σελ. 677. ἐπ. κεφ. 10. Στρωμ. β'. 20. σελ. 489. ἐπιστ. κεφ. 16. Στρωμ. β'. 15. σελ. 464. ἐπιστ. κεφ. 10.— Ὁ Ὠριγένης: «Γέγραπται δὴ ἐν τῇ Βαρνάβα καθολικῇ ἐπιστολῇ... ὅτι ἐξελέξατο τοὺς ἰδίους Ἀποστόλους ὁ Ἰησοῦς, ὄντας ὑπὲρ πᾶσαν ἀνομίαν ἀνομωτέρους». Βιβλ. Α'. κατὰ Κέλσ. § 63. τόμ. 1. σελ. 378. BB. Paris. 1733. ἐπιστολ. § 5. Ἐν τῷ περὶ Ἀρχῶν (βιβλ. γ'. κεφ. 2. σελ. 140) λέγει: «Eadem quoque Barnabas in epistola sua declarat, cum duas vias esse dicit, nnam lucis, alteram tenebrarum, quibus et praeesse certos quosque angelos dicit: viae quidem lucis angelos Dei, tenebrarum autem viae angelos Satanae». πρβλ. ἐπιστ. κεφ. 18. Ἐν τῷ ὑπομνήματι εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν (1, 24. τόμ. 4. σελ. 473) λέγει: «Sunt praeterea, sicut in mul tis Scripturae locis invenimus, etiam utriusque partis, vel utriusque viae fautores quidam et adjutores angeli». [Οὐδένα λανθάνει, ὅτι ὁ Κλήμης καὶ ὁ Ὠριγένης συχνότερον ὑπελάμβανον τὰ ἀπόκρυφα καὶ νόθα βιβλία ὡς γνήσια, διὸ οὐκ ἀποδοτέον μεγάλην βαρύτητα τῇ ὑπὲρ τῆς αὐθεντίας τῆς ἐπιστολῆς ταύτης μαρτυρίᾳ αὐτῶν Σ.Μ.]

ἀναγινώσκεται» (¹). Ὁ Εὐσέβιος κατατάσσει αὐτὴν ἐν τοῖς νόθοις, ἀλλ' ἐκ τοῦ συνδέσμου τῶν ἐννοιῶν αὐτοῦ γίγνεται δῆλον, ὅτι λέγει τοῦτο οὐχὶ σχετικῶς πρὸς τὸν συγγραφέα αὐτῆς, ἀλλ' ἀναφορικῶς πρὸς τὴν κανονικὴν σπουδαιότητα. Διασαφηνίζων δὲ αὐτὸς ἑαυτὸν καλεῖ αὐτὴν ἀντιλεγομένην, δηλ. μὴ κατατεταγμένην εἰς τὸν Κανόνα τῶν Γραφῶν, ὡς ἰσχυρίζοντο ἄλλοι, καὶ ἐν τῇ αὐτῇ τάξει κατατάσσει τὸ βιβλίον τοῦ Ἑρμᾶ καὶ τὰς ἐπιστολὰς τοῦ Κλήμεντος (²). Ἐκ τῶν λόγων τοῦ Ὠριγένους γίγνεται δῆλον, ὅτι καὶ ὁ Κέλσος ἀνέγνω τὴν ἐπιστολὴν τοῦ Βαρνάβα· ὁ δὲ Κέλσος ἤκμασεν ἐπὶ τοῦ αὐτοκράτορος Ἀδριανοῦ περὶ τὸ 130ον σωτήριον ἔτος. Αὐτὸς ὁ Βαρνάβας γράφει περὶ τῶν Ἰουδαίων: «Διὰ γὰρ τὸ πολεμεῖν αὐτοὺς καθῃρέθη (ὁ ναὸς) ὑπὸ τῶν ἐχθρῶν (τῶν Ρωμαίων)· νῦν καὶ αὐτοὶ οἱ τῶν ἐχθρῶν ὑπηρέται (οἱ χριστιανοὶ) οἰκοδομήσουσιν αὐτόν» (³). Τοῖς λόγοις τούτοις δηλοῦται ἡ καταστροφὴ τοῦ περιωνύμου ναοῦ τῆς Ἱερουσαλήμ, καὶ ἑπομένως δείκνυται, ὅτι ἡ ἐπιστολὴ ἐγράφη περὶ τὸ 72 ἔτ., ἐν τῷ αἰῶνι τῶν ἀποστολικῶν ἀνδρῶν.

Οὐδὲν θαυμαστόν, ὅτι ἐπ' ἐσχάτων ἐγένοντο πολλαὶ φιλονεικίαι

(¹) De vir. illustr. c. 6. [Περὶ τῆς μαρτυρίας ταύτης τοῦ Ἱερωνύμου ὁ σοφώτατος Πήρσων ἐκφέρει τὴν δε τὴν κρίσιν: «Barnabae Epistolam fuisse tradit (Hieronymus), non ipsi suppositam, aut spuriam; «ad aedificationem Ecclesiae» pertinuisset asserit, non itaque haereticam putavit; «lect. tamen inter apocryphas Scripturas» docet, nec ab Ecclesia repudiatam innuit» (Vindic. Ignat. p. I. c. 4. p. 289· πρβλ. Galland. I. c. p. XXX.) Σ. Μ.]

(²) Εὐσέβ. ἐκκλησ. ἱστορ. γ'. 25. «Ἐν τοῖς νόθοις κατατετάχθω καὶ τῶν Παύλου Πράξεων ἡ γραφή, ὅτε λεγόμενος Ποιμήν, καὶ ἡ Ἀποκάλυψις Πέτρου, καὶ πρὸς τούτοις ἡ φερομένη Βαρνάβα ἐπιστολή... Ταῦτα δὲ πάντα τῶν ἀντιλεγομένων ἂν εἴη». Ἀλλαχοῦ (βιβλ. ς'. 14) λέγων, ὅτι Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ταῖς ὑποτυπώσεσιν αὐτοῦ πάσης τῆς ἐνδιαθήκου Γραφῆς ἐπιτετμημένας πεποίηται διηγήσεις, προστίθησι: «μηδὲ τὰς ἀντιλεγομένας παρελθών· τὴν Ἰούδα, λέγω, καὶ τὰς λοιπὰς καθολικὰς ἐπιστολάς, τήν τε Βαρνάβα, καὶ τὴν Πέτρου λεγομένην Ἀποκάλυψιν».

(³) Ἴδ. ἐπιστ. § 16.

περὶ τῆς γνησιότητος τῆς ἐπιστολῆς τοῦ Βαρνάβα ([1]). Παραδεχόμενός τις, ὅτι ἡ ἐπιστολὴ αὕτη ἀνήκει εἰς τὸν Ἀπόστολον Βαρνάβαν, ἀκουσίως ἐρωτᾷ ἑαυτόν: Τίνος ἕνεκεν οὐκ ἀνεγνωρίσθη ὡς κανονική, ἀλλ᾽ ἐκλήθη ἀπόκρυφος; Οὐκ ἀποδείκνυται ἐντεῦθεν ὅτι τηνάλλως φέρει τὸ ὄνομα τοῦ Ἀποστόλου Βτρνάβα; Ἀλλὰ καὶ τὸν ἐπαφρόδιτον καλεῖ ὁ Ἀπόστολος Παῦλος Ἀπόστολον (πρὸς Φιλιπ. β΄. 25), καί τοι οὐδεὶς νομίζει αὐτὸν ὅμοιον τῷ Πέτρῳ ἢ τῷ Παύλῳ. Οἱ Ἀπόστολοι, ὧν τὰ συγγράμματα συνιστᾶσι τὸν κανόνα τῆς πίστεως καὶ τῆς ζωῆς, ἐκλήθησαν ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου. Ὁ δὲ Παῦλος, τὸ τῆς χάριτος σκεῦος, ἐγένετο Ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ· οὐ παρέλαβεν, οὐδὲ ἐδιδάχθη τὸ Εὐαγγέλιον παρ᾽ ἀνθρώπου· τὰ μυστήρια τοῦ Χριστοῦ ἀπεκαλύφθησαν αὐτῷ ὑπ᾽ αὐτοῦ τοῦ Θεοῦ (πρὸς Γαλ. ά. 1. 12-20. Ἐφεσ. γ΄. 3). Ὁ δὲ Βαρνάβας οὐκ ἦν ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα Ἀποστόλων· οὐκ ἐκλήθη ἐξόχῳ τινὶ κλήσει παρ᾽ αὐτοῦ τοῦ Θεοῦ· τοὐναντίον δὲ γνωστόν, ὅτι τὸ ἀποστολικὸν ἀξίωμα ἐνεπιστεύθη αὐτῷ ὑπὸ τῶν Ἀποστόλων. Ἐντεῦθεν ἡ ὀνομασία τοῦ Βαρνάβα ὡς Ἀποστόλου οὐ δίδωσι τὸ δικαίωμα ἀπορρίψαι τὸ γνήσιον τῆς ἐπιστολῆς αὐτοῦ.

Κατὰ ταῦτα δυνάμεθα συμβιβάσαι καὶ τὰς ἐν τῇ ἐπιστολῇ ἀπαντώσας συχνάκις ἀλληγορικὰς ἑρμηνείας, δι᾽ ὧν μικρὰ ἀξία δίδοται τῇ ἱστορικῇ σημασίᾳ τῶν ἐθίμων καὶ τελετῶν τῆς Παλαιᾶς Διαθήκης ([2]). Οἱ μαθηταὶ τῶν Ἀποστόλων, οἱ ὄντες ἐξ Ἰουδαίων, κατὰ τὸ μᾶλλον, ἢ ἧττον, διετήρουν ἐκεῖνον τὸν τρόπον τοῦ σκέπτεσθαι, ὃν ἔλαβον ἐν τῇ Συναγωγῇ. Ὁ δὲ διδάσκαλος τῶν ἐθνῶν διατελῶν ὑπὸ τὴν ἄμεσον καὶ ἐνδελεχῆ ὁδηγίαν τοῦ ἁγίου Πνεύματος ἠδύνατο

([1]) Κατὰ τὴν παρελθοῦσαν ἑκατονταετηρίδα οὐκ ὀλίγοι ἦσαν οἱ ἀπορρίπτοντες τὸ γνήσιον τῆς ἐπιστολῆς· κατὰ δὲ τὴν παροῦσαν ἐπολλαπλασιάσθη ὁ ἀριθμὸς τῶν ὑπερασπιστῶν. Ὁ Νέανδρος, ὁ Οὔλμαννος, ὁ Οὔσιος, ὁ Βίνερος, καὶ ὁ Ἐφέλης ἠγέρθησαν κατὰ τῆς γνησιότητος αὐτῆς. Τοὐναντίον ὁ Βερθόλδης, ὁ Βλέκκ, ὁ Βίζελερ, ὁ Κέλλν, ὁ Μοΐλερ, ὁ Περμανέδερος, καὶ ἄλλοι ὑπερήσπισαν αὐτὴν [ὑπὲρ τῆς γνησιότητος τῆς ἐπιστολῆς ἐστι καὶ ὁ ἡμέτερος Κ. Κοντογόνης Σ. Μ.].

([2]) Ἴδ. κατ᾽ ἐξοχὴν § 5-11.

ἐπὶ τοσοῦτον γενέσθαι ἀνώτερος τῆς ἰουδαϊκῆς αὐτοῦ ἀνατροφῆς, ὥστε ὁμολογῶν τὸ κῦρος τῆς μυστικῆς ἑρμηνείας τῆς Παλαιᾶς Διαθήκης, ἀπέρριπτε πάσας τὰς παραδόσεις τοῦ Ἰουδαϊσμοῦ. Ἀλλ' ὁ Βαρνάβας οὐκ ἦν Παῦλος· ὁ Βαρνάβας διδάσκει ἡμᾶς περὶ τῆς πηγῆς τῶν γνώσεων αὐτοῦ: «Τί λέγει ἡ γ ν ῶ σ ι ς, μάθετε· ἐλπίσατε, φησίν, ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ἡμῖν Ἰησοῦν» (1). Οἱ λόγοι οὗτοι ἐλήφθησαν ὡς διαβεβαιοῖ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐκ τοῦ βιβλίου τοῦ ἐπιγραφομένου ἡ γ ν ῶ σ ι ς (2). Ἐν τοῖς τοιούτοις βιβλίοις διεσώζοντο πολλαὶ ἀληθεῖς ἔννοιαι μεταδοθεῖσαι διὰ τῆς παραδόσεως· ἀλλ' ὅμως πολλαὶ ἐξ αὐτῶν ἦσαν καὶ ἀνθρωπίνης καταγωγῆς. Ὁ Ἀποστολικὸς ἀνὴρ οὐδόλως παρίστη ἑαυτὸν τοιοῦτον, οἷος οὐκ ἦν, καὶ τοῦτο ὑψοῖ αὐτὸν ἐν τῇ τάξει τῶν ὁμοίων αὐτῷ: «Οὐχ ὡς διδάσκαλος, λέγει, ἀλλ' εἷς ἐξ ὑμῶν διηγήσομαι ὑμῖν βραχέα τινά» (3).

Ἡ ἐπιστολὴ τοῦ ἁγίου Βαρνάβα διαιρεῖται εἰς δύο ἄνισα μέρη (4). Ἐν μὲν τῷ πρώτῳ (1-17) ἐκτίθεται τὸ δογματικὸν τῆς πίστεως μέρος, ἐν δὲ τῷ δευτέρῳ (18-22) τὸ πρακτικόν.

Ἐν τῷ πρώτῳ μέρει ὁ συγγραφεὺς μετὰ τὸν ἀσπασμὸν λέγει, ὅτι προτίθεται δεῖξαι τίνι τρόπῳ οἱ προφῆται ἐποιοῦντο λόγον περὶ τῆς Καινῆς Διαθήκης, τῆς γενομένης διὰ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ· ἔπειτα δὲ δείκνυσιν, ὅτι ἡ Παλαιὰ Διαθήκη συνῳδὰ τοῖς ἐν αὐτῇ γεγραμμένοις ἀντικατεστάθη ὑπὸ τῆς Καινῆς (§ 2-4)· δείκνυσι τοῖς τῶν Προφητῶν λόγοις, ὅτι ὁ Κύριος ἐνηνθρώπησε καὶ ἔπαθεν, ἵνα διὰ τοῦ θανάτου Αὐτοῦ σώσῃ τὸν ἄνθρωπον (§ 5-6)· πρὸς δὲ διὰ σαφῶν λόγων δείκνυσι τὴν θείαν τοῦ Λυτρωτοῦ ἀξίαν: «Et ad hoc Dominus sustinuit pati pro anima nostra, cum sit orbis terrarum Dominus; cui dixit (Pater) die ante constitutionem Sae-

(1) Ἐπιστ. § 6.

(2) Στρωμ. βιβλ. ἑ. 10. Ὁ Βαρνάβας μετήλλαξε μόνον τὴν λέξιν Μεσσίας διὰ τῆς λέξεως Ἰησοῦς.

(3) Ἐπιστ. § 1.

(4) Ἐξεδ. ὑπὸ Κοτελερίου (Patr. Apostol. 1724), ὑπὸ Ρουσελίου (Patr. Apostol. Lond. 1746), ὑπὸ Γαλλανδίου (B. P. I.), καὶ ὑπὸ Ἐφέλου (Patr. Apostol. Opera, Tubingae, 1842).

euli: Faciamus hominem ad imaginem et Similitudinem nostram» (*). Περαιτέρω δὲ ἐν ταῖς τελεταῖς τοῦ νόμου δείκνυσι τὴν ἀλήθειαν, ὅτι ἀπέκειτο τῷ Χριστῷ παθεῖν ὑπὲρ ἡμῶν, καὶ οὕτω καταπαῦσαι τὰς θυσίας καὶ τὰς παλαιὰς λατρείας τοῦ Θεοῦ (7-12). Κατὰ τὸν αὐτὸν τρόπον ἀποδείκνυσιν, ὅτι ἡ διαθήκη τῶν ἐπαγγελιῶν ἀναφέρεται πρὸς τοὺς Χριστιανούς, καὶ ὅτι ἀντὶ τοῦ καταστραφέντος ναοῦ τῆς Ἱερουσαλὴμ οἱ χριστιανοὶ χρησιμεύσουσιν ὡς ζῶντες ναοὶ τοῦ Θεοῦ (13-17).

Ἐν τῷ δευτέρῳ μέρει διδάσκει τάδε: «Ὁδοὶ δύο εἰσι διδαχῆς καὶ ἐξουσίας, ἥτε τοῦ φωτός, ἥτε τοῦ σκότους». Ὅπως πορευθῇ τις διὰ τῆς ὁδοῦ τοῦ φωτός, ἐφ' ἧς εἰσι τεταγμένοι φωταγωγοὶ ἄγγελοι τοῦ Θεοῦ, ὀφείλει ἀγαπᾷν τὸν ποιήσαντα αὐτόν, δοξάζειν τὸν ἐκ θανάτου λυτρωσάμενον αὐτόν, κοινωνεῖν ἐν πᾶσι τῷ πλησίον αὐτοῦ καὶ μηδὲν ἡγεῖσθαι ἴδιον, μὴ ἐπιτάσσειν παιδίσκῃ ἢ δούλῳ ἐν πικρίᾳ, ὑποτάσσεσθαι ταῖς ἐξουσίαις, ἀγαπᾷν ὡς κόρην ὀφθαλμοῦ πάντα τὸν διδάσκοντα τὸν λόγον τοῦ Κυρίου». Ἐκθεὶς δὲ μετὰ ταῦτα τὰ ἔργα τῆς ὁδοῦ τοῦ σκότους, παραινεῖ μὴ ἐπιλανθάνεσθαι τοῦ δικαστηρίου τοῦ Θεοῦ, καὶ καταπαύει τὴν ἐπιστολὴν ἐπευχόμενος εἰρήνην (§ 18-22).

Τὸ πρῶτον τοίνυν μέρος τῆς ἐπιστολῆς ἐστιν ἀπολογία τοῦ χριστιανισμοῦ κατὰ τῶν Ἰουδαίων. Ὁ ἀποστολικὸς ἀνήρ, καί τοι ὡς τἀπολλὰ ἀναφέρει τὰς ῥήσεις τῆς Παλαιᾶς Διαθήκης κατὰ τὴν ἑλληνικὴν μετάφρασιν τῶν Ο, ἀλλ' ὅμως δύο χωρία (Γεν. 6'. 2. Ἠσ. κή. 16.) ἀναγινώσκει κατὰ τὸ ἑβραϊκὸν κείμενον [**]. Ἡ σημασία τῶν παθῶν

(*) Τῶν πρώτων τεσσάρων κεφαλαίων καὶ τοῦ ἡμίσεως τοῦ πέμπτου ἀπώλετο τὸ ἑλληνικὸν κείμενον. Σ.Μ.

[**] «Ἐν ταύτῃ τοίνυν, λέγει ὁ σοφώτατος Κ. Οἰκονόμος, τῇ καθολικῇ (καὶ μάλιστα πρὸς τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας) ἐπιστολῇ τοῦ Βαρνάβα, πᾶσαι, ὅσαι κατὰ πόδα καὶ ῥητὸν ἀναφέρονται προφητικαὶ ῥήσεις ὀγδοήκοντα περίπου τὸν ἀριθμόν, ὑπάρχουσιν ἐκ τῶν Ο, καὶ μνημονεύονται ὡς λόγια Θεοῦ μὴ μόνον κατὰ νοῦν, ἀλλὰ καὶ κατὰ λέξιν· οἷον «οὕτω λέγει ὁ Θεός» ... καὶ τό: «συνετέλεσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἕκτῃ» (... ἀντὶ τοῦ σφαλερῶς ἐκδεδομένου τῇ ἡμέρᾳ *τῇ ἑβδόμῃ*, ὡς ἔχει καὶ τὸ νῦν ἑβραϊκόν· ἐκ δὲ τούτου πλανηθεὶς ὁ κλεινὸς Οὐόσσιος, ὑπέλαβε τὸν Βαρνάβαν χρησάμενον καὶ τῷ ἑβραϊκῷ). Ὁ δὲ Σοφὸς Ὅδιος (ᾧ καὶ Λύμπερος ἐπίστευσε), καὶ λίαν ἄτοπα λέγει, διατεινόμε-

τοῦ ἐνανθρωπήσαντος Υἱοῦ τοῦ Θεοῦ ἐν λεπτομερείᾳ διασαφηνίζεται: «Propter hoc Dominus sustinuit tradere corpus Suum in exterminium, ut remissione peccatorum sanctificemur, quod est sparsione Sanguinis illius. . . Εἰ οὖν ὁ Υἱὸς τοῦ Θεοῦ, ὢν Κύριος, καὶ μέλλων κρίνειν ζῶντας καὶ νεκρούς, ἔπαθεν ἵνα ἡ πληγὴ αὐτοῦ ζωοποιήσῃ ἡμᾶς· πιστεύσωμεν ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἠδύνατο παθεῖν, εἰμὴ δι᾽ ἡμᾶς» (¹). Περὶ δὲ τῆς ἐνεργείας τοῦ βαπτίσματος διδάσκει τάδε:

νος, ὅτι δῆθεν ὁ Βαρνάβας «ἔν τισι τόποις καταλιμπάνων τοὺς Ο, κατέφευγεν εἰς τὸ ἑβραϊκόν», φέρει δὲ τοῦ πράγματος διττὰς ἀποδείξεις, καὶ ἀμφοτέρας διεψευσμένας· πρῶτον τό, «ἰδοὺ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ. . . καὶ ὃς ἐλπίσει ἐπ᾽ αὐτὸν ζήσεται εἰς τὸν αἰῶνα» (ἀντὶ τοῦ «καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ μὴ καταισχυνθῇ», ὡς ἔχουσιν οἱ Ο, καὶ Πέτρος ὁ Ἀπόστολος). Ἀλλ᾽ ὁ μὲν Βαρνάβας τ᾽ ἄλλα πάντα γράψας ἀκριβῶς ἐκ τῶν Ο, τὸ τελευταῖον κῶλον μετέβαλε πρὸς τὸ σαφέστερον, ἀποδοὺς τὴν ἔννοιαν τοῦ ῥητοῦ. Τὸ δ᾽ ἑβραϊκὸν καθ᾽ ὅλην τὴν ῥῆσιν ὅλους πήχεις ἀπέχει τῆς παρὰ τῷ Βαρνάβᾳ φερομένης ταύτης ῥήσεως, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς παραλλήλοις. . . Δευτέραν ἀπόδειξιν ἐπήγαγεν Ὅδιος οὐδόλως τῆς πρώτης εὐτυχεστέραν, τὸ μικρῷ πρόσθεν εἰρημένον, *τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ* ...» (Περὶ τῶν Ο, ἑρμηνευτῶν τῆς Π. Θ. Γ. Τόμ. Δ΄. σελ. 418-419). Σ. Μ.)

(¹) Ἐπιστ. § 5. Ἐν τῷ αὐτῷ 5 κεφαλαίῳ λέγει περὶ τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τότε ἐφανέρωσεν ἑαυτὸν Υἱὸν Θεοῦ εἶναι. Εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκί, πῶς ἂν ἐσώθημεν ἄνθρωποι, βλέποντες αὐτόν; ὅτι τὸν μέλλοντα μὴ εἶναι ἥλιον, ἔργον χειρῶν αὐτοῦ ὑπάρχοντα, βλέποντες οὐκ ἰσχύουσιν εἰς ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι». Ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ λέγει τάδε: «Ἔχεις καὶ ἐν τούτῳ τὴν δόξαν τοῦ Ἰησοῦ, ὅτι ἐν αὐτῷ πάντα καὶ εἰς αὐτόν». Τὴν ἀληθῆ τοῦ Υἱοῦ Θεότητα οὐχ ἧττον ἐξόχως δηλοῖ ἀποκαλῶν αὐτὸν Κύριον τῆς οἰκουμένης. «Τηλικαύτην εἶναι τὴν δόξαν τοῦ Ἰησοῦ, *ὥστε ἐν αὐτῷ πάντα καὶ εἰς αὐτὸν* εἶναι (κεφ. 12) δηλονότι ὑπ᾽ αὐτοῦ ὡς αἰτίας ἐπιτελούσης, πάντα γίγνεσθαι, καὶ εἰς αὐτόν, ὡς εἰς τέλος πάντα ἀναφέρεσθαι. Τούτοις προσθετέον τό: «ὅτι ἔμελλεν ἐν σαρκὶ φανεροῦσθαι, καὶ ἐν ὑμῖν κατοικεῖν. Ναὸς γὰρ ἅγιος, ἀδελφοί μου, τῷ Κυρίῳ, τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας» (κεφ. ἐ.), ἔνθα περὶ τοῦ Κυρίου, ὃς ἐν σαρκὶ εἴτε τῇ ἀνθρωπίνῃ φύσει ἐφανέρωσεν ἑαυτόν, δηλ. περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, σαφῶς λέγει, καὶ διδάσκει αὐτὸν ἐν ταῖς καρδίαις τῶν ἁγίων, ὡς ἐν ναοῖς τῷ

«ἡμεῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες ἁμαρτιῶν καὶ ῥύπου, καὶ ἀναβαίνομεν καρποφοροῦντες ἐν τῇ καρδίᾳ τὸν φόβον, καὶ τὴν ἐλπίδα εἰς τὸν Ἰησοῦν Χριστὸν ἔχοντες ἐν τῷ πνεύματι» (κεφ. ιά.). Πρὸς τὸ πνεῦμα τῆς ἐποχῆς ἀνακτέον τὴν ἐν τῇ ἐπιστολῇ ἀπαντῶσαν ἔννοιαν «ὅτι συντελεῖ ὁ [Θεὸς] Κύριος ἐν ἑξακισχιλίοις ἔτεσι τὰ πάντα» (§ 15) [α].

Τῷ Ἀποστόλῳ Βαρνάβᾳ ἀπεδίδοσαν ἔτι τὸ Εὐαγγέλιον τοῦ Βαρνάβα, ὅπερ ἀναμφιβόλως ἐστὶν ὑποβολιμαῖον [1].

§ 28. *Ὁ ἅγιος Κοδράτος ἐπίσκοπος Ἀθηνῶν· βίος αὐτοῦ, ἀπολογία, ἐπιστολὴ πρὸς Διόγνητον.*

«Κοδράτος, ὁ τῶν Ἀποστόλων μαθητής, γράφει ὁ μακάριος Ἱερώνυμος, Πουπλίου τοῦ Ἀθηνῶν ἐπισκόπου ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ τὸν στέφανον τοῦ μαρτυρίου ἀναδησαμένου, καθίσταται ἐν τῇ θέσει αὐτοῦ, καὶ τὴν ἐκκλησίαν μεγάλῳ φόβῳ διασκορπισθεῖσαν τῇ πίστει αὐτοῦ καὶ τῇ ἐπιμελείᾳ συνήγαγεν, ὅτε δὲ ὁ Ἀδριανὸς ἐν Ἀθήναις τὸν χειμῶνα διήγαγε, ἐπισκεπτόμενος τὸ ἐν Ἐλευσῖνι ἱερόν, καὶ πάντα σχεδὸν τὰ μυστήρια τῆς Ἑλλάδος μυούμενος, ἔδωκεν ἀφορμὴν τοῖς μισοῦσι τοὺς χριστιανοὺς ἄνευ διατάγματος τοῦ αὐτοκράτορος κακῶσαι τοὺς πιστούς, προσήνεγκεν

Θεῷ καθιερωμένοις, οἰκεῖν. Οἱ λόγοι οὗτοι οὕτω λαμπρῶς δηλοῦσι τὴν Θείαν τοῦ Υἱοῦ μεγαλειότητα καὶ παντοδυναμίαν, ὥστε οὐ δέονται τῆς ἡμετέρας διασαφήσεως. Ἀξιοσημείωτοι πρὸς τούτοις οἱ λόγοι τοῦ Βαρνάβα, οἱ ἐν τῷ ιβ΄. κεφ. ἀναγινωσκόμενοι: «Ἴδε πάλιν Ἰησοῦς οὐχ ὁ Υἱὸς ἀνθρώπου, ἀλλ' ὁ Υἱὸς τοῦ Θεοῦ, τύπῳ καὶ ἐν σαρκὶ φανερωθείς». Φανερῶς ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν εἶναι οὐ μόνον Θεὸν ἀληθινόν, λέγων παθεῖν δι' ἡμᾶς τὸν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ : «Εἰ οὖν ὁ Υἱὸς τοῦ Θεοῦ, ὢν Κύριος, καὶ μέλλων κρίνειν ζῶντας καὶ νεκρούς, ἔπαθεν, ἵνα ἡ πληγὴ Αὐτοῦ ζωοποιήσῃ ἡμᾶς· πιστεύσωμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἠδύνατο παθεῖν, εἰμὴ δι' ἡμᾶς» (κεφ. 12.) Σ. Μ.)

[α] Περὶ τῆς δοξασίας, ὅτι εἰς τὸ τέλος τῆς ἕκτης χιλιετίας ἔσται ἡ συντέλεια τοῦ παντός, καὶ ἡ εἰς τὸ κρεῖττον καὶ τελειότερον ἀποκατάστασις ἴδ. Κ. Οἰκον. περὶ τῶν Ο, ἑρμην. Τ. 3. σελ. 778-9. Σ. Μ.

(1) Fabricii Codex Apocryphus N. T. Hamb. 1732.

αὐτῷ βίβλον ὑπὲρ τῆς θρησκείας ἡμῶν, πάνυ ὠφέλιμον καὶ πλήρη νοῦ καὶ πίστεως, καὶ τῆς ἀποστολικῆς διδασκαλίας ἀξίαν» (1). Ἡ ἀπολογία τοῦ Κοδράτου, ὑποβληθεῖσα τῷ 126, τοσοῦτον ἐπέτυχε τοῦ σκοποῦ, δι᾽ ὃν ἐγράφη, ὥστε ὁ Ἀδριανὸς ἐξέδωκε διάταγμα μηδένα ἄνευ αἰτίας καταδικάζειν (2). Ὁ μαθητὴς τῶν Ἀποστόλων, ἔνδοξος διὰ τὸ προφητικὸν αὐτοῦ χάρισμα (3), ἐτελεύτησε μαρτυρικῶς περὶ τὸ 130ον ἔτος (4).

Ὁ Εὐσέβιος ἔγραφεν ἐν τῇ ἀρχῇ τοῦ τετάρτου αἰῶνος: «Εἰσέτι δὲ φέρεται παρὰ πλείστοις τῶν ἀδελφῶν, ἀτὰρ καὶ παρ᾽ ἡμῖν τὸ σύγγραμμα· ἐξ οὗ κατιδεῖν ἐστι λαμπρὰ τεκμήρια τῆς τε τοῦ ἀνδρὸς διανοίας καὶ τῆς ἀποστολικῆς ὀρθοτομίας» (5). Ἡ ἀπολογία τοῦ Κοδράτου ἐσώζετο καὶ ἐπὶ τοῦ Ἱερωνύμου, καὶ ἔτι κατὰ τὸν ς΄. αἰῶνα (6). Ἀλλὰ τῆς πολυτίμου ταύτης ἀπολογίας οὐκ ἀφίκον-

(1) «Quadratus Apostolorum discipulus, Publio Athenarum episcopo ob Christi fidem martyrio coronato, in locum ejus substituitur, et ecclesiam grandi terrore dipessam, fide et industria sua congregat. Cumque Adrianus Athenis exegisset hiemem, invisens Eleusina; et omnibus paene Graeciae sacris initiatus, dedisset occasionem his, qui Christianos oderant, absque praecepto imperatoris vexare credentes; porrexit ei librum pro religione nostra valde utilen plenumque rationis et fidei, et apostolica doctrina dignum». De vir. illustr. c. 19.

(2) Hieron. epist. LXX. n. 4, Opp. tom. I, pag. 426. «Quadratus, apostolorum discipulus, et Atheniensis pontifex ecclesiae, nonne Adriano principi Eleusinae sacra invisenti, lihrum pro nostra religione tradidit. Et tantae admirationi omnibus fuit, ut persecutionem gravissimam illius excellens sedaret ingenium».

(3) Εὐσέβ. ἐκκλ. ἱστορ. γ΄. 37. ε΄. 17.

(4) Ἡ μνήμη αὐτοῦ ἐν τῇ ἑλληνικῇ ἐκκλησίᾳ τῇ κά. Σεπτεμβρίου, ἐν δὲ τῇ ρωμαϊκῇ τῇ κς΄. Μαΐου. Acta Sanctor. ad 26 Màii, Tom. VI. pag. 357.

(5) Εὐσέβ. ἐκκλ. ἱστορ. δ΄. 3.

(6) Ἐν τῷ ς΄. αἰῶνι Εὐσέβιος ὁ Θεσσαλονίκης, ἐλέγχων ἐν 10 βιβλίοις Ἀνδρέαν τινα Εὐτυχιανόν, ἀνέφερε λόγους τοῦ ἁγίου Κοδράτου (Φώτ. ἀνάγ. 162). Ἀλλ᾽ οὔτε τὸ τοῦ Εὐσεβίου σύγγραμμα, οὔτε τὸ τοῦ Ἀνδρέου εἰσὶ νῦν γνωστά.

το μέχρις ἡμῶν εἰμὴ ὀλίγαι τινὲς λέξεις ὑπὸ τοῦ Εὐσεβίου διασωθεῖσαι, αἵτινες ἄλλως εἰσὶν ὅλου βιβλίου ἀντάξιοι.

Ἰδοὺ τὸ ἐκ τῆς ῥηθείσης ἀπολογίας μνημονευόμενον ὑπὸ τοῦ Εὐσεβίου χωρίον: «Τοῦ δὲ Σωτῆρος ἡμῶν τὰ ἔργα ἀεὶ παρῆν· ἀληθῆ γὰρ ἦν· οἱ θεραπευθέντες, οἱ ἀναστάντες ἐκ νεκρῶν. Οἳ οὐκ ὤφθησαν μόνον θεραπευόμενοι, καὶ ἀνιστάμενοι, ἀλλὰ καὶ ἀεὶ παρόντες. Οὐδ' ἐπιδημοῦντος μόνον τοῦ Σωτῆρος, ἀλλὰ καὶ ἀπαλλαγέντος, ἦσαν ἐπὶ χρόνον ἱκανόν. Ὥστε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς αὐτῶν ἀφίκοντο» (¹).

Διὰ τῶν λέξεων τούτων ὁ ἅγιος Κοδράτος δείκνυσι τῷ αὐτοκράτορι, ἀπατηθέντι ταῖς πονηρίαις ἀνθρώπων, ἀνατραφέντων ἐν τῇ ἐθνικῇ θρησκείᾳ, τὴν μεταξὺ τοῦ θαυματουργοῦ καὶ τοῦ ἀπατεῶνος ὑφισταμένην μεγάλην διαφοράν. Αἱ λέξεις αὗται χρησιμεύουσι καὶ εἰς πάντα ἄλλον ὡς ἀνεξέλεγκτος μαρτυρία περὶ τῆς ἱστορικῆς σημασίας τῶν εὐαγγελικῶν θαυμάτων.

Μέχρις ἡμῶν ἀφίκετο ἡ πρὸς Διόγνητον ἐπιστολή, ἧς ὁ συγγραφεὺς καλεῖ ἑαυτὸν μαθητὴν τῶν Ἀποστόλων καὶ διδάσκαλον τῶν ἐθνῶν (²), ὁμιλεῖ δὲ περὶ τοῦ χριστιανισμοῦ ὡς περὶ πράγματος πάντῃ νέου (³). Ἡ ἐπιστολὴ αὕτη ἀναμφιβόλως συνεγράφη ὑπὸ ἀποστολικοῦ ἀνδρός, καὶ πιθανὸν ὑπὸ τοῦ ἁγίου ἐπισκόπου Κοδράτου (⁴). Ἔστι δὲ πλήρης χριστιανικοῦ πνεύματος καὶ ὑψηλῆς

(¹) Εὐσέβ. ἐκκλ. ἱστορ. δ'. 3. Routh, reliquiae Sacrae, Oxon. 1814, t. I. pag. 73.

(²) Πρὸς Διόγν. κεφ. ιά. «Ἀποστόλων γενόμενος μαθητής, γίνομαι διδάσκαλος ἐθνῶν».

(³) § 1.

(⁴) Πάντες οἱ νεώτεροι παραδέχονται τὴν ἐπιστολὴν ταύτην, ὡς ἔργον ἀποστολικοῦ ἀνδρός. Ὁ Ἐφέλης ἐξέδωκεν αὐτὴν ἐν τοῖς συγγράμμασι τῶν ἀποστολικῶν ἀνδρῶν. Κατὰ τοὺς προγενεστέρους χρόνους τινὲς παρεδέχοντο ὡς συγγραφέα αὐτῆς τὸν Ἀπολλώ, περὶ οὗ ποιεῖται λόγον ὁ Ἀπόστολος Παῦλος, τεκμαιρόμενοι τοῦτο μεταξὺ ἄλλων καὶ ἐκ τοῦ καλλιλογικοῦ ὕφους τῆς ἐπιστολῆς. Ἀλλ' ὁ Ἀπολλὼς οὐκ ἂν εἶπεν ὅ,τι λέγει ὁ συγγραφεὺς αὐτῆς: «Ἣν δύναμιν ενιδὼν ὁ Ἀπόστολος, τήν τε ἄνευ ἀληθείας προστάγματος εἰς ζωὴν ἀσκουμένην γνῶσιν μεμφόμενος, λέγει: «Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ». Τὴν ἐπιστολὴν ταύτην ἐξέδωσαν ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἰουστίνου (Op. Iustini, edit. Sylburgii, Heidelb. 1593. ed Marani Paris. 1742 Op. Patr. ed. Oberthur. Wirce burgii 1777—779). Ἀλλ' ἐκ τῶν εἰρημένων δείκνυται, ὅτι ἡ ἐν λόγῳ ἐπιστολὴ οὐ δύναται ἀποδοθῆναι τῷ Ἰουστίνῳ καὶ τὸ ὕφος αὐτῆς ἐστι πάντῃ διάφορον τοῦ ὕφους τοῦ ἱεροῦ τούτου ἀπολογητοῦ. Ἐν τοῖς χειρογράφοις οὐ σημειοῦται τὸ ὄνομα τοῦ συγγραφέως.

πρὸς τὴν ἀλήθειαν τοῦ Χριστοῦ ἀγάπης· ἡ γλῶσσα αὐτῆς ἐστι καθαρά, ἡ φράσις ζωηρὰ καὶ γραφική, ἡ τέχνη οὐδαμοῦ κωλύει τὴν φύσιν καὶ τὴν δύναμιν τῶν ἐννοιῶν, ὁ δὲ λόγος ῥέει κατ᾽ εὐθεῖαν ἐκ τῆς καρδίας τοῦ ἁγίου. Ὁ συγγραφεύς, λέγει ὁ μακάριος Φώτιος, «ῥητορικαῖς τέχναις οὐκ ἔσχε σπουδὴν ἐπιχρῶσαι τὸ ἔμφυτον αὐτοῦ τῆς φιλοσοφίας κάλλος. Διὸ καὶ οἱ λόγοι αὐτοῦ ἄλλως ὄντες δυνατοὶ καὶ τὸ ἐπιστημονικὸν διασώζοντες, τῶν ἐκεῖθεν οὐκ εἰσιν ἀποστάζοντες ἡδυσμάτων, οὐδὲ τῷ ἐπαγωγῷ καὶ θελκτηρίῳ τοὺς πολλοὺς τῶν ἀκροατῶν ἐφελκόμενοι» (1).

Ὁ Διόγνητος, λόγιος ἐθνικός, ἐπεθύμει μαθεῖν (2) τὴν χριστιανικὴν θρησκείαν. Διὸ πάνυ σαφῶς καὶ ἐπιμελῶς ἐπυνθάνετο περὶ τῶν χριστιανῶν: «Τίνι τε Θεῷ πεποιθότες καὶ πῶς θρησκεύοντες, αὐτόν τε κόσμον ὑπερορῶσι πάντες, καὶ θανάτου καταφρονοῦσι»; Κατὰ τὴν ἐπιθυμίαν αὐτοῦ ἐξεικονίζεται ἐν τῇ ἐπιστολῇ ἡ ματαιότης τῶν θεῶν (§ 2), ἡ ἄλογος τῶν Ἰουδαίων δεισιδαιμονία (§ 3-5), ἡ ὑψηλὴ καὶ οὐ γηΐνη τῶν χριστιανῶν ζωή. «Χριστιανοὶ γάρ, λέγει, οὔτε γῇ, οὔτε φωνῇ, οὔτε ἔθεσι διακεκριμένοι εἰσὶ τῶν λοιπῶν ἀνθρώπων. Οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν, οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται, οὔτε βίον παράσημον οἰκοῦσιν· οὐ μὴν ἐπινοίᾳ τινι καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοῦτ᾽ αὐτοῖς ἐστιν εἰρημένον· οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν, ὥσπερ ἔνιοι· κατοικοῦντες δὲ πόλεις ἑλληνίδας τε καὶ βαρβάρους, ὡς ἕκαστος ἐκληρώθη, καὶ ἐν τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. Πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ᾽ ὡς πάροικοι· μετέχουσι πάντων ὡς πολῖται, καὶ πάνθ᾽ ὑπομένουσιν ὡς ξένοι. Πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν· καὶ πᾶσα πατρὶς ξένη... ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ᾽ οὐ κατὰ σάρκα ζῶσιν, ἐπὶ γῆς διατρίβουσιν, ἀλλ᾽ ὡς ἐν οὐρανῷ πολιτεύον-

(1) Ἀνάγν. ρκέ.

(2) Ὁ Διόγνητος ἐγίγνωσκεν, ὡς φαίνεται τὸν ἰουδαϊσμόν. Λέγουσιν, ὅτι εἰς αὐτὸν ἀνήκει σύγγραμμά τι περὶ νόμου. Ἀλλ᾽ ἦν πεπαιδευμένος ἐθνικός, εἰς ὃν ὑπῆρχεν ἀναγκαία ἡ διὰ τῆς ἱστορίας τῆς ἀνθρωπότητος ἀπόδειξις τῆς ἀνάγκης τοῦ χριστιανισμοῦ.

ται. Πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. Ἀγαπῶσι πάντας καὶ ὑπὸ πάντων διώκονται. Ἀγνοοῦνται καὶ κατακρίνονται. Θανατοῦνται καὶ ζωοποιοῦνται. Πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς. Πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν. Ἀτιμοῦνται, καὶ ἐνταῖς ἀτιμίαις δοξάζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται... Ἁπλῶς δ' εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ' εἰσιν ἐν κόσμῳ χριστιανοί ... κατέχονται μὲν ὡς ἐν φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον» (§ 5-6). Πόθεν δὲ τοῦτο; «Ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι Θεοῦ» (§ 7). Τίς ὁ θεμελιωτὴς τῆς χριστιανικῆς πίστεως; «Αὐτὸς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος Θεός. Αὐτὸς ἀπ' οὐρανῶν τὴν Ἀλήθειαν καὶ τὸν Λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυται, καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν, οὐ καθάπερ ἄν τις εἰκάσειεν, ἀνθρώποις ὑπηρέτην τινα πέμψας, ἢ ἄγγελον, ἢ ἄρχοντα, ἤ τινὰ τῶν διεπόντων τὰ ἐπίγεια, ἤ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' Αὐτὸν τὸν Τεχνίτην καὶ Δημιουργὸν τῶν ὅλων· Ὧ τοὺς οὐρανοὺς ἔκτισεν, Ὧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν· Οὗ τὰ μυστήρια πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα, παρ' Οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων εἴληφε φυλάσσειν· Ὧ πειθαρχεῖ Σελήνη νυκτὶ φαίνειν κελεύοντι· Ὧ πειθαρχεῖ τὰ ἄστρα... Ὧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ· πῦρ, ἀήρ, ἄβυσσος· τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ... Τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο τί πότ' ἐστι Θεός, πρὶν Αὐτὸν ἐλθεῖν;... ἀνθρώπων δὲ οὐδεὶς οὔτε εἶδεν, οὔτε ἐγνώρισεν· Αὐτὸς δὲ ἑαυτὸν ἐπέδειξεν, ἐπέδειξε δὲ διὰ πίστεως· ἧ μόνῃ Θεὸν ἰδεῖν συγκεχώρηται» (7, 8). Βραδέως ἐφανερώθη τῷ κόσμῳ; Οὐχί, ἀπὸ τῆς αἰωνιότητος ἔτι ὁ ἀγαθὸς Θεὸς προώρισεν Αὐτὸν διὰ τὸν κόσμον. Ἀλλ' ἐπειδὴ οἱ ἄνθρωποι ἦσαν μέχρι τούτου παραδεδομένοι τοῖς πάθεσιν αὐτῶν, ἀνάγκη ὑπῆρχεν, ἵνα μάθωσιν ἐκ πείρας ὅσον ὀλίγον ἦσαν ἱκανοὶ αὐτοὶ ἀφ' ἑαυτῶν κτήσασθαι τὴν οὐράνιον βασιλείαν (§ 9). Ἐπὶ δὲ τούτοις ὁ ἀποστολικὸς ἀνήρ, προφυλάττων τὸν Διόγνητον ἀπὸ τῶν ἀνθρώπων, τῶν παραβάντων τὰ ὅρια τῆς πί-

στεως, τὰ ὁρισθέντα ὑπὸ τῶν Ἀποστόλων καὶ τῆς παραδόσεως τῶν πατέρων, παραπέμπει αὐτὸν εἰς τὴν οἰκουμενικὴν ἐκκλησίαν, ἔνθα δύναται εὑρεῖν πάνθ᾽ ὅσα ἐκήρυξε τοῖς ἀνθρώποις ὁ Λόγος πρὸς σωτηρίαν αὐτῶν· πρὸς δὲ σημειοῖ, ὅτι ἐν τῷ χριστιανισμῷ ἡ γνῶσις καὶ ὁ βίος εὑρίσκονται ἐν στενῷ συνδέσμῳ. Οὔτε ἡ ἀληθὴς γνῶσις δύναται ὑπάρχειν ἄνευ τοῦ καθαροῦ βίου, οὔτε ὁ ὀρθὸς βίος ἄνευ τῆς γνώσεως. Ἐν τῷ ἐπιλόγῳ λέγει: «Οἷς ἐντυχόντες καὶ ἀκούσαντες μετὰ σπουδῆς, εἴσεσθε ὅσα παρέχει ὁ Θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς» (§ 11, 12).

Ἡ ἐπιστολὴ αὕτη, ὡς ἀπολογία τῆς πίστεώς, ἐστιν ἐξαίρετον σύγγραμμα, καὶ μία τῶν ἀρίστων ἀπολογιῶν διὰ τὴν δύναμιν αὐτῆς. Ἀλλὰ δυσχερὲς ἀποφήνασθαι, εἰ ἔχει μείζονα ἀξίαν ὡς ἀπολογία, ἢ ὡς ἔκθεσις τῆς ἀποστολικῆς πίστεως. Περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ὁ μαθητὴς τῶν Ἀποστόλων δίδωσι σαφεστάτην καὶ ἀκριβεστάτην διδασκαλίαν (7, 9). Καλεῖ αὐτὸν ἴδιον, Μονογενῆ, Υἱὸν τοῦ Θεοῦ, Λόγον ἀπερινόητον, Τεχνίτην καὶ Δημιουργὸν τῶν ὅλων, Βασιλέα καὶ Κριτὴν τοῦ κόσμου, Θεὸν καὶ Κύριον (§ 10). Ἐπίσης δὲ ὡρισμένως διδάσκων καὶ περὶ τῆς Ἱλαστηρίου σημασίας τοῦ θανάτου τοῦ Χριστοῦ, λέγει: «Ἐπεὶ δὲ ἦλθεν ὁ καιρός, ὃν ὁ Θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν, ὡς . . . ὑπερβαλλούσης φιλανθρωπίας μία ἀγάπη . . . οὐκ ἐμίσησεν ἡμᾶς, οὐδὲ ἀπώσατο, οὐδὲ ἐμνησικάκησεν. Ἀλλ᾽ ἐμακροθύμησεν, ἠνέσχετο, λέγων αὐτός, τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο· αὐτὸς τὸν ἴδιον Υἱὸν ἀπέδοτο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν. Τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι, ἢ ἡ ἐκείνου δικαιοσύνη; Ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς, ἢ ἐν μόνῳ τῷ Υἱῷ τοῦ Θεοῦ; Ὢ τῆς γλυκείας ἀνταλλαγῆς, ἢ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὢ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν! ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ. Ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν Σωτῆρα δείξας δυνατὸν σώζειν καὶ

τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα διδάσκαλον, σύμβουλον, ἰατρόν, νοῦν, φῶς, τιμήν, δόξαν, ἰσχύν, ζωήν· περὶ . . . » (§ 9).

§ 29. *Ὁ ἅγιος Παπίας ὁ Ἱεραπόλεως.*

Εἷς τῶν ἐνδόξων ἐκείνων ἀνδρῶν, οἵτινες κατὰ τὸν Εὐσέβιον, ἐπεῖχον «τὴν πρώτην τάξιν τῆς τῶν Ἀποστόλων διαδοχῆς» (1) ἐστὶ καὶ ὁ μακάριος Παπίας, ὁ ἐπίσκοπος τῆς Ἱεραπόλεως. Κατὰ τὸν ἅγιον Εἰρηναῖον (2), ὁ Παπίας ἦν «Ἰωάννου μὲν ἀκουστής, Πολυκάρπου δὲ ἑταῖρος». Ὁ μακάριος Ἱερώνυμος καλεῖ αὐτὸν ὡσαύτως «ἀκροατὴν τοῦ Εὐαγγελιστοῦ Ἰωάννου» (3). Ἀναστάσιος ὁ Σιναΐτης γράφει, ὅτι ἐν τοῖς παλαιοῖς τῶν ἐκκλησιῶν διδασκάλοις, οἳ ἔκριναν πνευματικῶς περὶ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τάσσεται καὶ ὁ περίφημος Παπίας ὁ Ἱεραπόλεως, μαθητὴς Ἰωάννου τοῦ Εὐαγγελιστοῦ (4). Τὸ αὐτὸ λέγουσι περὶ αὐτοῦ ὁ ἅγιος Μάξιμος (5), Ἀνδρέας ὁ Καισαρεὺς (6), ὁ Οἰκουμένιος (7), καὶ ἄλλοι. Κατὰ τὸν Εὐσέβιον, ὁ ἐπίσκοπος τῆς Ἱεραπόλεως «ἦν ἀνὴρ τὰ πάντα ὅτι μάλιστα λογιώτατος καὶ τῆς Γραφῆς εἰδήμων» (8). Ὁ Ἱερώνυμος ὡμολόγει, ὅτι ἦν ἀνάξιος μεταφράσαι αὐτὸν καὶ τὸν Πολύκαρπον. «Ψευδὴς φήμη, γράφει πρὸς τὸν φίλον αὐτοῦ Λικίνιον, ἀφίκετο μέχρι σοῦ, ὅτι δῆθεν μετεφράσθησαν ὑπ' ἐμοῦ τὰ βιβλία τῶν ἁγίων Παπία καὶ Πολυκάρπου. Οὔτε αἱ ἀσχολίαι, οὔτε αἱ δυνάμεις μου ἐπιτρέπουσί μοι ἐκθεῖναι πράγματα γραφέντα μετὰ τηλικαύτης χάριτος ἐν ἀρχαίᾳ γλώσσῃ» (9).

(1) Εὐσέβ. ἐκκλ. ἱστορ. γ΄. 37.

(2) Κατὰ αἱρέσ. V. 33.

(3) Hieron. epist. LXXVI, n. 3. opp. T. I. edit. Veron., col. 450. «Refer Irenaeus, vir. apostolicorum temporum, et Papiae, auditoris Evangelistae Ioannis, discipulus».

(4) Βιβλ. ζ΄. εἰς τὴν ἑξαήμερ.

(5) Σχόλ. εἰς τὸ τοῦ Διονυσ. τοῦ Ἀρεοπαγ. περὶ ἐκκλ. ἱεραρχ. ζ΄.

(6) Εἰς Ἀποκάλ. κεφ. 34.

(7) Εἰς τὰς Πρ. τῶν Ἀποστ. κεφ. β΄. Μόνος ὁ Εὐσέβιος (ἐκκλ. ἱστορ. γ΄. 39) οὐ παρεδέχετο τὸν Παπίαν ὡς μαθητὴν τῶν Ἀποστόλων, ἀλλ' ἡ μερικὴ αὐτὴ γνώμη οὐ συμφωνεῖ τῇ καθολικῇ παραδόσει.

(8) Ἐκκλ. ἱστορ. γ΄. 36.

(9) Hieron. ep. LXXI, n. 5. edit. Veron.

Λυπηρόν, ὅτι τὰ συγγράμματα τοιούτου ἀνδρὸς οὐκ ἀφίκοντο πλήρη μέχρις ἡμῶν. «Τοῦ δὲ Παπία, λέγει ὁ Εὐσέβιος, συγγράμματα πέντε τὸν ἀριθμὸν φέρεται, ἃ καὶ ἐπιγέγραπται «λογίων κυριακῶν ἐξηγήσεις»· τούτων καὶ Εἰρηναῖος, ὡς μόνων αὐτῷ γραφέντων, μνημονεύει, ὧδέ πως λέγων «ταῦτα δὲ καὶ Παπίας, Ἰωάννου μὲν ἀκουστής, Πολυκάρπου δὲ ἑταῖρος γεγονώς, ἀρχαῖος ἀνήρ, ἐγγράφως ἐπιμαρτυρεῖ ἐν τῷ τετάρτῳ τῶν αὐτοῦ βιβλίων· ἔστι γὰρ αὐτῷ πέντε βιβλία συντεταγμένα» (¹). Ἀλλ' ἐκ τούτων τῶν βιβλίων ἡμῖν εἰσι γνωστὰ ὀλίγα μόνον τεμάχια.

Τὸ πολυτιμότατον τῶν τεμαχίων τούτων ἐστὶν ἐκεῖνο, ἐν ᾧ ὁμιλεῖ περὶ τῶν εὐαγγελιστῶν Μάρκου καὶ Ματθαίου. «Μάρκος μὲν ἑρμηνευτὴς Πέτρου γενόμενος, ὅσα ἐμνημόνευσεν, ἀκριβῶς ἔγραψεν, οὐ μέντοι τάξει, τὰ ὑπὸ τοῦ Χριστοῦ ἢ λεχθέντα ἢ πραχθέντα· οὔτε γὰρ ἤκουσε τοῦ Κυρίου, οὔτε παρηκολούθησεν Αὐτῷ· ὕστερον δέ, ὡς ἔφην, Πέτρῳ, ὃς πρὸς τὰς χρείας ἐποιεῖτο τὰς διδασκαλίας· ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν κυριακῶν ποιούμενος λόγων· ὥστε οὐδὲν ἥμαρτε Μάρκος, οὕτως ἔνια γράψας, ὡς ἀπεμνημόνευσεν· ἑνὸς γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδέν, ὧν ἤκουσε, παραλιπεῖν, ἢ ψεύσασθαί τι ἐν αὐτοῖς.... Ματθαῖος μὲν οὖν ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνεγράψατο· ἡρμήνευσε δὲ αὐτά, ὡς ἠδύνατο ἕκαστος» (²).

Ἐν τῷ προλόγῳ τῶν ἑαυτοῦ βιβλίων ἔγραφεν ὁ Παπίας: «Οὐκ ὀκνήσω δέ σοι καὶ ὅσα ποτὲ παρὰ τῶν πρεσβυτέρων καλῶς ἔμαθον, καὶ καλῶς ἐμνημόνευσα, συγκατατάξαι ταῖς ἑρμηνείαις, διαβεβαιούμενος ὑπὲρ αὐτῶν ἀλήθειαν. Οὐ γὰρ τοῖς τὰ πολλὰ λέγουσιν ἔχαιρον, ὥσπερ οἱ πολλοί, ἀλλὰ τοῖς τ' ἀληθῆ διδάσκουσιν· οὐδὲ τοῖς τὰς ἀλλοτρίας ἐντολὰς μνημονεύουσιν, ἀλλὰ τοῖς τὰς παρὰ τοῦ Κυρίου τῇ πίστει δεδομένας, καὶ ἀπ' αὐτῆς παραγενομένας τῆς ἀληθείας. Εἰ δέ που καὶ παρηκολουθηκώς τις τοῖς πρεσβυτέροις ἔλθοι, τοὺς τῶν πρεσβυτέρων ἀνέκρινον λόγους· τί Ἀνδρέας, ἢ τί Πέτρος εἶπεν, ἢ τί Φίλιππος, ἢ τί Θωμᾶς, ἢ Ἰάκωβος, ἢ τί Ἰωάννης, ἢ Ματθαῖος, ἤ τις ἕτερος τῶν Κυρίου μαθητῶν· ἅ τε Ἀριστίων καὶ ὁ πρεσβύτερος Ἰωάννης, οἱ τοῦ Κυρίου μαθηταὶ λέγουσιν. Οὐ γὰρ τὰ

(¹) Ἐκκλ. ἱστορ. γ'. 39.
(²) Παρ' Εὐσεβ. ἐκκλ. ἱστορ. γ'. 39.

ἐκ τῶν βιβλίων τοσοῦτόν με ὠφελεῖν ὑπελάμβανον, ὅσον τὰ παρὰ ζώσης φωνῆς καὶ μενούσης» (¹).

Κατὰ τὸν Εὐσέβιον, ὁ Παπίας: «κέχρηται μαρτυρίαις ἀπὸ τῆς Ἰωάννου προτέρας ἐπιστολῆς, καὶ τῆς Πέτρου ὁμοίως. Ἐκτέθειται δὲ καὶ ἄλλην ἱστορίαν περὶ γυναικός, ἐπὶ πολλαῖς ἁμαρτίαις διαβληθείσης ἐπὶ τοῦ Κυρίου, ἣν τὸ καθ' Ἑβραίους Εὐαγγέλιον περιέχει». Περὶ τῆς ὑποθέσεως τῶν βιβλίων τοῦ Παπία λέγει προσέτι ὁ Εὐσέβιος, «ὅτι νεκρῶν ἀνάστασιν κατ' αὐτὸν γεγονυῖαν ἱστορεῖ», καὶ ὅτι ὁ Ἰοῦστος, ὁ ἐπικληθεὶς Βαρσαβᾶς, ἐνέπιε δηλητήριον φαρμάκου, καὶ μηδὲν ἀηδὲς διὰ τὴν τοῦ Κυρίου χάριν ὑπέμεινε. «Καὶ ἄλλας δέ, λέγει ὁ αὐτὸς Εὐσέβιος, τῇ ἑαυτοῦ γραφῇ παραδίδωσιν Ἀριστίωνος, τοῦ πρόσθεν δεδηλωμένου, τῶν τοῦ Κυρίου λόγων διηγήσεις καὶ τοῦ πρεσβυτέρου Ἰωάννου παραδόσεις». «Καὶ ἄλλα δὲ ὁ αὐτὸς συγγραφεύς, ὡς ἐκ παραδόσεως ἀγράφου εἰς αὐτὸν ἥκοντα, παρατέθειται, ξένας τέ τινας παραβολὰς τοῦ Σωτῆρος καὶ διδασκαλίας αὐτοῦ, καί τινα ἄλλα μυθικώτερα· ἐν οἷς καὶ χιλιάδα τινά φησιν ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, σωματικῶς τῆς Χριστοῦ βασιλείας ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης. Ἃ καὶ ἡγοῦμαι, τὰς ἀποστολικὰς παρεκδεξάμενον διηγήσεις, ὑπολαβεῖν, τὰ ἐν ὑποδείγμασι πρὸς αὐτῶν εἰρημένα μὴ συνεωρακότα» (²). Εἰρηναῖος, ὁ μαθητὴς τοῦ Παπία, διέσωσε τὴν διήγησιν αὐτοῦ περὶ τῆς παραβολῆς τοῦ Σωτῆρος, ἐφ' ἧς ἐπεστήριξεν ὁ Παπίας τὴν περὶ τῆς ὁρατῆς τοῦ Χριστοῦ βασιλείας δοξασίαν (³).

Ἡ μαρτυρία τοῦ Παπία περὶ τοῦ προδότου Ἰούδα, ἡ μνημονευομένη ὑπὸ τοῦ Ἀπολλιναρίου καὶ τοῦ Οἰκομενίου (⁴), ἐκτίθεται πληρέστατα παρὰ τῷ Θεοφυλάκτῳ (⁵).

(¹) Εὐσέβ. ἐκκλ. ἱστορ. γ'. 39.

(²) Αὐτόθ.

(³) Advers. Haeres., c. 33. num. 3. et 4.

(⁴) Οἱ λόγοι αὐτῶν παρὰ Μιγνίῳ Patrol. V, 1259.

(⁵) Εἰς τὰς Πρ. τῶν Ἀποστ. παρὰ Μιγνίῳ αὐτόθ.

ΔΕΥΤΕΡΟΝ ΤΜΗΜΑ

Ἀπὸ τοῦ 140ου μέχρι τοῦ 312ου ἔτους.

ΓΕΝΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.

§ 30. *Ἀντικείμενα τῆς προσοχῆς τῶν διδασκάλων· α') ὑπεράσπισις τῆς πίστεως κατά τε τῶν ἐθνικῶν καὶ τῶν Ἰουδαίων.*

Τὸ κύριον ἀντικείμενον, περὶ ὃ ἐστράφη ἡ προσοχὴ τῶν διδασκάλων τοῦ δευτέρου καὶ τρίτου αἰῶνος, ἦν ἡ πρὸς τὴν πίστιν πάλη τοῦ ἐθνισμοῦ. Ὅσον ἡ τοῦ Χριστοῦ θρησκεία ἔπληττεν ἰσχυρότερον τὰ εἴδωλα τῆς καρδίας, τόσον ἀγριώτερον ἠγείροντο κατὰ πάσας τὰς ἐπαρχίας τῆς αὐτοκρατορίας τὰ πάθη κατὰ τῆς ἀληθείας, ἐκδηλούμενα νῦν διὰ συκοφαντιῶν κατὰ τοῦ χριστιανισμοῦ καὶ τῶν χριστιανῶν, ἀνηκούστους ὠμότητας ὑφισταμένων. Ἅπασαι αἱ τάξεις τοῦ ἐθνικοῦ κόσμου ἦσαν ἀσθενεῖς, καὶ ἑκάστη αὐτῶν εἶχε προσέτι τὴν ἑαυτῆς ἀσθένειαν, καὶ ἅπαντες οἱ ἀσθενεῖς ἐξανίσταντο κατ᾽ ἐκείνων, οὓς ἔπεμψεν ὁ Κύριος, θεραπεύσοντας τὸν ἀσθενῆ κόσμον. Ὁ τυφλὸς ὄχλος ἔπασχε κατ᾽ ἐξοχὴν ὑπὸ τῆς ἀμαθείας· οἱ ἱερεῖς καὶ πολλοὶ ἄλλοι εὕρισκον ἐν τῇ ἐθνικῇ θρησκείᾳ κερδαλέαν τέχνην· ἡ τῆς κυβερνήσεως πολιτικὴ ἦν νοσηρὰ καὶ γήϊνη· ἡ ἐθνικὴ φιλοσοφία, εἰ ἐπίστευεν εἴς τι, ἐπίστευεν ἢ εἰς τὴν τυφλὴν τύχην [1], ἢ εἰς τὰς ἐπινοίας τῆς νοσηρᾶς φαντασίας [2]. Πάντες δ᾽ ἔπασχον ἄγνοιαν τοῦ ἀληθοῦς Θεοῦ. Ἡ πίστις ἔπληξε κατὰ πρῶτον τὸ εἴδωλον τὸ ἐγηγερμένον ἐν ταῖς καρδίαις τῶν τεχνιτῶν. Ἐντεῦθεν αἱ κατὰ τῶν χριστιανῶν συκοφαντίαι διεδόθησαν ἐν ταῖς διανοίαις τοῦ ὄχλου· ὁ δὲ ὄχλος, ὡς συνήθως, ἐπανελάμβανε τὰς συκοφαντίας μετ᾽ ἰσχυρῶν κραυγῶν ἀπερισκέπτως μεταδιδοὺς αὐτὰς ἐν εἰδεχθεστάτῃ μορφῇ. Ἡ δὲ νοσηρὰ καὶ μικρόψυχος πολιτικὴ ἐπίστευε κατὰ λέ-

(1) Μάρκος Αὐρήλιος—Στωϊκός· ὁ δὲ Λουκιανὸς ἐπὶ τοῦ Τραϊανοῦ καὶ Ἀδριανοῦ φανερῶς ἔσκωπτε πάντα.

(2) Πορφύριος, Πλωτῖνος καὶ ἄλλοι.

ξιν τοῖς ἱερεῦσι καὶ τῷ ὄχλῳ, καὶ προσέταττε τὸν ἀφανισμὸν τῶν ἀνθρώπων «τῆς νέας καὶ ἐπιζημίου δεισιδαιμονίας» (¹).

Ἐν τοιαύταις περιστάσεσιν ἦν ἀνάγκη οὐχὶ τοσοῦτον κηρύσσειν τὴν πίστιν, ὅσον δεικνύναι τοῖς ἐθνικοῖς τὴν ἰδίαν αὐτῶν κατάστασιν καὶ τὴν σχέσιν τῆς πίστεως πρὸς τὰς ἀρίστας ἀπαιτήσεις τοῦ πνεύματος αὐτῶν· ἀνάγκη ἦν δεικνύναι, ὅτι ἁγιώτερον τῷ τε νῷ καὶ τῇ καρδίᾳ, καὶ εὐεργετικώτερον ἁπάσῃ τῇ ἀνθρωπότητι οὐδαμοῦ ἐστιν εὑρεῖν, ἢ μόνον ἐν τῇ χριστιανικῇ πίστει. Ὁ Κύριος ἤγειρε πρὸς τὸ ἔργον τοῦτο ἄνδρας ἰσχυρούς, ὧν αἱ διάνοιαι καὶ αἱ καρδίαι ἐνόουν καὶ ᾐσθάνοντο τὴν ἀξίαν τῆς ἀληθείας τοῦ Χριστοῦ, ἡ δὲ πλήρης ἀγάπης αὐτῶν καρδία ἤλγει ἐπὶ τῇ ὑπὸ τῶν ἀνθρωπίνων παθῶν αἰχμαλωσίᾳ τῶν καρδιῶν. Τούτοις ἀπέκειτο ὑπερμαχεῖν τοῦ χριστιανισμοῦ καὶ κατὰ τοῦ ἰουδαϊσμοῦ, γενομένου ἤδη ἐγγὺς τοῦ ληθαργικοῦ αὐτοῦ ὕπνου. Τοιούτῳ τρόπῳ ἀνεφάνησαν οἱ ἐπιφανεῖς **Ἀπολογηταὶ** τοῦ χριστιανισμοῦ.

§ 31. *β') Ἔλεγχος τῶν αἱρετικῶν — καὶ γ') ἔρευναι περὶ τοῦ κανόνος τῆς ἁγίας Γραφῆς.*

Συγχρόνως οἱ αἱρετικοὶ τοῦ χριστιανισμοῦ προὐκάλουν πρὸς νέους ἀγῶνας. Οἱ ἀποστολικοὶ ἄνδρες ἐστεροῦντο χρόνου, ὅπως ἐλέγξωσιν

(¹) Οὕτως ὀνομάζει τοὺς χριστιανοὺς ὁ Σουητώνιος (in Vita Neronis c. 16). Ὁ Πλίνιος (110-120), μαθὼν δι' ἐξετάσεων εἰς τί συνίσταται ὁ χριστιανισμός, ἐξέθηκε τῷ Ἀντωνίῳ, ὅτι οὐδὲν ἄλλο ἐστίν, ἢ Superstitio prava et immodica (Lib. X. ep. 97). Τοιαύτη γνώμη εὑρίσκεται καὶ παρὰ τῷ Ἀππιανῷ. Ἐντεῦθεν δῆλον, ὅτι οἱ χριστιανοὶ ἀπολογηταὶ ὤφειλον ἀγωνίζεσθαι οὐ πρὸς τοὺς φιλοσόφους, ἀλλὰ πρὸ πάντων πρὸς τοὺς δικαστάς, πρὸς οὓς καὶ ἐγράφοντο αἱ ἀπολογίαι, καὶ ἔπειτα πρὸς ἄλλους τοιούτους, περὶ ὧν εἴρηται. Κατὰ τοῦ χριστιανισμοῦ ἔγραψε μόνον ὁ ἐπικούρειος Κέλσος καὶ ὁ φαντασιοκόπος Πορφύριος (τῷ 233)· ὁ δὲ κωμικὸς Λουκιανὸς καὶ ὁ Ἱεροκλῆς, δικαστὴς ἐπὶ Διοκλητιανοῦ, ὅστις διὰ τῆς φιλοσοφίας αὐτοῦ μόνον ἐπεχείρησε παραβαλεῖν τὸ τοῦ Φιλοστράτου μυθιστόρημα περὶ Ἀπολλωνίου τοῦ Τυανέως πρὸς τὴν εὐαγγελικὴν περιγραφὴν τοῦ Ἰησοῦ Χριστοῦ (Lact. de mort. persecut. c. XVI. inst. Divin. l. v. c. II, III), εἰσὶν ἀνάξιοι καὶ κατατάσσεσθαι μεταξὺ τῶν κατὰ τοῦ χριστιανισμοῦ συγγραψάντων.

ἐγγράφως τὰς πλάνας πάντων τῶν κατ᾽αὐτοὺς αἱρετικῶν, ἐν τούτοις αἱ αἱρέσεις ἐπολλαπλασιάζοντο. Ἀπὸ τοῦ 150—310 οἱ Οὐαλεντινιανοὶ καὶ οἱ Μαρκιωνῖται ([1]), ἐφεξῆς δὲ (ἀπὸ τοῦ 260) ὁ Μάνης ([2])

([1]) Τοῖς παραδεχομένοις δύο ἀρχὰς προσετέθησαν α] περὶ τὸ 160 ὁ Βαρδησάνης, ὃς παρεδέχετο τὸν μὲν ἀγαθὸν Θεὸν ὡς ποιητὴν τοῦ κόσμου, τὸ δὲ σῶμα ὡς τιμωρητικὸν δεσμωτήριον τῆς ψυχῆς. Ἐν τῷ Χριστῷ παρεδέχετο μόνον σάρκα κατὰ δόκησιν, καὶ ἀπέρριπτε τὴν ἀνάστασιν τῶν νεκρῶν (Εὐσέβ. ἐκκλ. ἱστορ. δ΄. 30· Ἐπιφάν. αἱρ. 56. Ἐφρ. ὁ Σύρ.). Οἱ ὀπαδοὶ αὐτοῦ ἦσαν πάνυ ἰσχυροὶ κατ᾽ ἐξοχὴν ἐπὶ τοῦ ἁγ. Ἐφραίμ. β) ὁ μαθητὴς τοῦ Μαρκίωνος Λεύκιος Χαρῖνος, διατυπώσας τὴν διδασκαλίαν αὐτοῦ περὶ τὸ 160 (Pacian. ep. I. 63. Phryges Se a Levcio animatos mentiuntur). Κατὰ τὸν Ἐπιφάνιον (αἱρ. 51, 56), ὁ Χαρῖνος ὑπερήσπιζε τὴν θεότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ κατὰ τῶν Ἐβιωναίων, ἀλλ᾽ οὐχὶ κατὰ τὴν ἔννοιαν τῶν μαθητῶν τοῦ Ἀποστόλου Ἰωάννου (ὡς τοὐναντίον γράφει ὁ Ἐπιφάνιος)· ἐβλασφήμει τὸν Θεὸν τῶν Ἰουδαίων, ἀποκαλῶν αὐτὸν αἴτιον τοῦ κακοῦ· κατὰ τὴν δοξασίαν αὐτοῦ ὁ ἀγαθὸς Θεός ἐστιν ὁ Χριστός, καὶ Αὐτός ἐστι Πατήρ τε καὶ Υἱός· ὁ Χριστὸς οὐκ ἔχει πραγματικὴν σάρκα, ὁ δὲ δίγαμός ἐστιν ἀκαθαρσία, διότι ἡ ὕλη ἐστὶ κακὸν (ἴδ. Φωτ. ἀνάγν. 114. August. de fid. cont. Manich. c. 38). Ἐν τοῖς δοξάζουσι τὴν ἀπόρροιαν ἐπίσημός ἐστιν ὁ Καρποκράτης μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἐπιφανοῦς, ὧν ἡ διδασκαλία ἐστὶ παραπλήσιος τῷ πανθεϊσμῷ, ἡ δὲ ἠθικὴ παντελὴς κακοήθεια. (Κλήμ. ὁ Ἀλεξ. Στρωμ. γ΄ σελ. 512. Εἰρην. ά 26. Θεοδώρ. αἱρ. κακομυθ. Α΄. έ.).

([2]) Εὐσέβ. ἐκκλ. ἱστορ. ζ΄. 31. Ἐπιφ. αἱρ. 66. Θεοδώρ. αἱρ. κακομ. ά. 20. καὶ ἀνατολ. διηγήσ. (Abulfarady Hist. Dynast. 82. Hyde Hist. vel. set. Hers. 280). Πρβ. Weismann Gesch. d. glaubens lehre Th. I. s. 142-184. Neanders K. S. I. 2. Abth s. 873. Ὁ Μάνης, σοφὸς Πέρσης, ἐδίδασκεν, ὅτι ὑπάρχουσι δύο ἀρχαὶ τῶν πάντων· μία ἀρχὴ τοῦ φωτός, ἑτέρα ἀρχὴ τοῦ σκότους. Τῆς μὲν πρώτης δεσπότης ἐστὶν ὁ Θεός, τῆς δὲ δευτέρας ἡ ὕλη, τὸ πνεῦμα τοῦ κακοῦ. Ἐκ μὲν τῆς πρώτης ἐλήφθησαν αἱ ψυχαί, ἐκ δὲ τῆς τελευταίας τὰ σώματα. Ὁ Χριστός ἐστι φωτεινὴ δύναμις, ἀλλὰ δημιουργηθεῖσα, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐλευθεροῖ τὰς ψυχὰς ἐκ τῶν δεσμῶν τῆς ὕλης. Ὁ Παράκλητος Μάνης ἀπεστάλη, ἵνα καθαρίσῃ τὴν χριστιανικὴν διδασκαλίαν, διαφθαρεῖσαν μετὰ Χριστόν. Ὁ Μάνης οὐ παρεδέχετο τὴν Π. Δ., διέφθειρε πᾶσαν τὴν Καινήν, ἐκδοὺς ἴδιον εὐαγγέλιον, ἴδια μυστήρια, κεφάλαια, θησαυρόν. Ἐκώλυε τὸν γάμον, τὸ κρέας καὶ τὸν οἶνον. Ὁ Μανιχαϊσμὸς κατέπιε τὰ πρότερα συστήματα τοῦ δυϊσμοῦ, καὶ ἐπὶ μακρὸν χρόνον ἔζησεν ἔν τε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει.

κατ' ἐξοχὴν ὑπερήσπιζον καὶ διεδίδοσαν τὴν ἀνάμιξιν τῶν σκοτίων ἀρχῶν τοῦ ἐθνισμοῦ μετὰ τῶν ἀρχῶν τοῦ χριστιανισμοῦ. Οἱ νέοι ἐσωτερικοὶ τῆς πίστεως ἐχθροὶ ἔλαβον νέον χαρακτῆρα. Οἱ ἄνθρωποι οὗτοι, ὅσῳ διεφθαρμένοι καὶ ἂν ἦσαν, γινώσκοντες ἐκ τοῦ σύνεγγυς τὰς ἀρχὰς τοῦ χριστιανισμοῦ, οὐκ ἠδύναντο μὴ ὁμολογῆσαι, ὅτι ἡ πίστις τοῦ Χριστοῦ ὑπερεῖχε τῶν προγενεστέρων δοξασιῶν. Ἡ παχυλὴ τοῦ ἐθνισμοῦ σύμμιξις σχεδὸν ἐγκατελείφθη, καὶ ἡ ἀνυπότακτος φύσις ἤρξατο ἀρύεσθαι τὰς ἑαυτῆς ἀμφιβολίας ἐξ αὐτῶν τῶν ἀρχῶν τοῦ χριστιανισμοῦ. Ὁ Πραξέας (1), Θεόδοτος ὁ Βυζάντιος (2) καὶ ὁ Νοητὸς(3) ἐστράφησαν πρὸς τὸ κύριον ἀντικείμενον τῆς χριστιανικῆς θρησκείας—τὴν θεότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀπέρριπτον τὸ ἀντικείμενον τοῦτο τῆς πίστεως τῇ ἀρχῇ τῆς μοναρχίας. Ὁ Βήρυλλος(4),

---

(1) Τὸ γένος εἷλκεν ἐκ τῆς Μικρᾶς Ἀσίας, γνωστὸς διὰ τὴν κατὰ τῶν ἐθνικῶν τόλμην ἐν τῷ τέλει τοῦ δευτέρου αἰῶνος. Ἐν Ῥώμῃ, καὶ ἔπειτα ἐν τῇ ἀνθυπατικῇ Ἀφρικῇ, ἐδίδασκεν, ὅτι ὁ Θεὸς διὰ τὰ σταυρικὰ πάθη ἡνώθη τῷ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ, τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι δύναμις τοῦ Θεοῦ. Tertullian. adv. Praxeam.

(2) Σκυτεὺς ἐκ Βυζαντίου, ἀνὴρ σοφός, ἤκμασεν ἐπὶ τοῦ Μάρκου Αὐρηλίου (τῷ 192)· ἐδίδασκεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἦν ψιλὸς ἄνθρωπος. Ἐν Βυζαντίῳ καὶ Ῥώμῃ κατηγόρησαν αὐτοῦ ἐπὶ τούτῳ, ἀλλ' αὐτὸς ἰσχυρίζετο, ὅτι ἠρνεῖτο τὸν ἄνθρωπον. Ἐκ τῶν ὀπαδῶν αὐτοῦ, οἵτινες ἐν Ῥώμῃ εἶχον καὶ ἐπίσκοπον, ἐπίσημος ἦν ὁ Ἀρτέμων, ἢ Ἀρτεμᾶς, ἐξ οὗ ἔλαβον τὸ ὄνομα οἱ Ἀρτεμονῖται, ἄλλως καλούμενοι Ἄλογοι, ἅτε οὐ παραδεχόμενοι τὸν λόγον, τὸν ἐν τῷ Εὐαγγελίῳ τοῦ Ἰωάννου περιγραφόμενον.

(3) Ὁ Νοητὸς εἷλκε τὸ γένος ἐκ Σμύρνης· ἐν τῷ μέσῳ τοῦ γ' αἰῶνος διεδίδω ἐν μικρᾷ Ἀσίᾳ τὴν διδασκαλίαν τοῦ Θεοδότου. Ἐν τῇ περὶ τὸ 245 συγκροτηθείσῃ ἐν Ἐφέσῳ συνόδῳ ἀφωρίσθη τῆς ἐκκλησίας μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἱππόλ. κατὰ Νοητοῦ. Ἐπιφ. αἱρ. 57. Θεοδώρ. αἱρ. κακομ. γ' 3.

(4) Ἐπίσκοπος τῶν Βόστρων τῆς Ἀραβίας, ἐδίδασκεν, ὅτι ὁ Ἰ. Χ. πρὸ τῆς ἐνανθρωπήσεως ὑπῆρχεν οὐχ ὡς πρόσωπον, ἀλλ' ὡς νοῦς καὶ θέλησις ἐν τῷ Θεῷ· μετὰ δὲ τὴν ἐνανθρώπησιν ἐγένετο ἔνθεος ἄνθρωπος. Ὁ Ὠριγένης ἐπί τινος ἐν Βόστροις γενομένης συνόδου «λογισμῷ τε πείσας, καὶ ἀποδείξει ἀναλαβὼν αὐτόν, τῇ περὶ τοῦ δόγματος ἐφίστησιν ἀληθείᾳ, ἐπί τε τὴν προτέραν ὑγιᾶ δόξαν ἀποκαθίστησιν» (Εὐσέβ. ἐκκλ. ἱστορ. ς'. 33).

ὁ Σαβέλλιος (¹) καὶ Παῦλος ὁ Σαμοσατεὺς(²), ἐκ τῆς αὐτῆς ὁρμώμενοι ἀρχῆς, ἠρνοῦντο τὴν προσωπικὴν ὕπαρξιν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Κατὰ τὸν αὐτὸν χρόνον ὁ Μοντανὸς (³) ἐφαντάζετο, ὅτι ὁ Παράκλητος, ὁ ὑπὸ τοῦ Υἱοῦ τοῦ Θεοῦ ὑποσχεθείς, οἰκεῖ ἐν αὐτῷ—τῷ Μοντανῷ, καὶ ἡ κοινότης αὐτοῦ ἐστι κοινότης πνευματικῶν χριστιανῶν, οἷς κωλύεται ὁ δεύτερος γάμος, ἀλλ' ἐπιτρέπεται ἀποφεύγειν τοὺς διωγμούς, οἱ πεσόντες οὔκ εἰσιν ἀδελφοί, κ.τ.λ. Μετὰ τοῦ αὐτοῦ πεφυσιωμένου πνεύματος ἀνεφάνησαν ἡ κοινότης τοῦ Νοουάτου (⁴), κηρύξαντος ἄλογον αὐστηρότητα πρὸς τοὺς πεσόντας καὶ τὰ νήπια, ἡ μετὰ ταῦτα ἑνωθεῖσα τοῖς Μοντανισταῖς, καὶ ἡ Μελετίου τοῦ Λυκοπόλεως (⁵).

(¹) Ἐδίδασκεν, ὅτι ἐν τῇ Θεότητί ἐστι *μία ὑπόστασις*, *μία οὐσία*· ὅτι ἐν μιᾷ ὑποστάσει ἀποκαλύπτονται τρεῖς δυνάμεις, καλούμεναι ὑπ' αὐτοῦ *μορφαί*, *σχήματα*, *πρόσωπα*, *ἐνέργειαι*. Ἡ διδασκαλία τοῦ Σαβελλίου μετέβη ἐν τῷ δ'. αἰῶνι εἰς Μεσοποταμίαν, Πόντον, καὶ Ῥώμην. Ἐκ τῶν λόγων τοῦ Αὐγουστίνου δῆλον, ὅτι καὶ κατὰ τὸν ε'. αἰῶνα ὑπελάνθανεν ἐν Νουμιδίᾳ καὶ Ἀφρικῇ· ἐν δὲ τῷ ς'. ἐξέλιπεν. (Εὐσέβ. ἐκκλ. ἱστορ. ζ'. 6. Ἐπιφ. αἱρ. 62. Θεοδώρ. αἱρετ. κακομυθ. β'. 9.)

(²) Ἐγεννήθη ἐν τῇ βορείῳ Συρίᾳ τῷ 260· ἀλαζὼν ἐπίσκοπος τῆς Ἀντιοχείας· ἐπροστατεύετο ὑπὸ τῆς βασιλίσσης Ζηνοβίας· ἐδίδασκεν, ὅτι ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμά εἰσιν *ὁμοούσια*, τουτέστιν ἓν πρόσωπον· ὁ Χριστός ἐστι *Λόγος*, τουτέστι νοῦς, σοφία· ἡ σοφία αὕτη συνηνώθη τῷ Χριστῷ ἐν τῷ βαπτίσματι, καὶ διὰ τοῦτο ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ, ἐδίδασκε τὴν ἀλήθειαν, καὶ ἐποίει θαύματα. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ἐστὶ δύναμις τοῦ Θεοῦ. (Εὐσέβ. ἐκκλ. ἱστ. ζ'. 30. Mansi collect. concil. T. I. pag. 1001.)

(³) Ἐγεννήθη ἐν τῇ κώμῃ Ἀρδαβὰν τῆς πρὸς τὴν Φρυγίαν συνορευούσης Μυσίας· διέμενε διαρκῶς ἐν Φρυγίᾳ καὶ ἰδίως ἐν τῇ κώμῃ Πεπούζῃ, ἐφ' ᾧ καὶ οἱ μαθηταὶ αὐτοῦ ἐκαλοῦντο *Πεπουζιανοὶ* καὶ *Φρύγες*. Αἱ κοινότητες τῶν Μοντανιστῶν ἀνεφάνησαν ἐν Καππαδοκίᾳ, Γαλατίᾳ, Κιλικίᾳ, Κωνστ]πόλει καὶ Ἀφρικῇ. (Εὐσέβ. ἐκκλησ. ἱστορ. ε'. 14—19. Ἐπιφάν. αἱρ. 48)

(⁴) Νοουάτος ὁ πρεσβύτερος ἀπέρριπτε τὸ βάπτισμα τῶν νηπίων, οὐ παρεδέχετο τοὺς παραπεπτωκότας, ἐκάλει τὴν κοινότητα αὐτοῦ κοινότητα τῶν *καθαρῶν*· κατεκρίθη ἐν Καρχηδόνι καὶ Ῥώμῃ τῷ 251. (Εὐσέβ. ς'. 43-46.)

(⁵) Waleh Ketrerhistorie Th. 4,355. ἴδ. περὶ Πέτρου τοῦ Ἀλεξανδρείας.

Ὅτε τοιούτῳ τρόπῳ ἐπολλαπλασιάζοντο ὁσημέραι αἱ πλάναι, οἱ δὲ διδάσκαλοι τοῦ ψεύδους ἐκτὸς τοῦ ὅτι εἰσῆγον τὰς ἑρμηνείας αὐτῶν καὶ τοὺς λόγους ἐν τοῖς Θεοπνεύστοις βιβλίοις, ἐπενόουν ἐσθ' ὅτε καὶ ἴδια κανονικὰ βιβλία (¹), φυσικὸν ἦν, ἵνα καὶ οἱ διδάσκαλοι τῆς ἐκ-

(¹) Περὶ τῶν βιβλίων, τῶν ὑποβληθέντων ὑπὸ τῶν αἱρετικῶν καὶ τῆς διαφθορᾶς τοῦ Κανόνος ὑπὸ τοῦ Κηρίνθου, τῶν Ἐβιωναίων, τοῦ Βασιλείδου, καὶ Μαρκίωνος ἴδ. τὴν γενικὴν ἐπιθεώρησιν τοῦ αἰῶνος τῶν ἀποστολικῶν ἀνδρῶν. Μετὰ ταῦτα οἱ Αἱρετικοὶ ἠσχολήθησαν περὶ τὴν σύνταξιν ψευδῶν βιβλίων ἐν οἷς διακρίνονται:

1] Ὑπὲρ πάντας τοὺς ἄλλους *Λεύκιος ὁ Χαρῖνος*, ὃς συνέταξε:

α'] Τὰς *Περιόδους* τῶν Ἀποστόλων, ἢ λεπτομερῆ περιγραφὴν τῶν πράξεων τοῦ *Πέτρου* (Φώτ. ἀνάγν. 114. Σύνοψ. Ἀθαν. Τ. 2. σελ. 202. Augustin. de act. Felic. l. I. c. 6. de fide cont. Manich. c. 38. Εὐσέβ. γ'. 3. Hieron. de vir. illustr. c. de Petro), τοῦ *Ἀνδρέου* (Ἐπιφ. αἱρ. 42. § 1. 51. § 1. Ἰννοκέντ. I. ep. ad Exsuperium. § 7.), σύγγραμμα διάφορον τῆς περιγραφῆς τοῦ μαρτυρίου τοῦ Ἀποστόλου Ἀνδρέου, ἣ δικαίως θεωρεῖται ἐν πᾶσιν ἀξιόπιστος (ep. Presbyt. Achaiae de Martyr. S. Andreae Ap. Woogium Lipsiae, 1749), τοῦ *Θωμᾶ* (Thil. Lips. 1823), τοῦ *Παύλου* (Ὠριγ. Τ. 21 εἰς Ἰωάννην, 298 ed Huetii. Εὐσέβ. γ'. 3), τοῦ *Ἰωάννου* (Εὐσέβ. γ'. 25. Ἐπιφάν. αἱρ. 42. § 1. Σύνοψ. Ἀθαν. Τ. 2. σελ. 302). Ἡ λατινικὴ ἐκλογὴ ἐκ τῶν πράξεων τοῦ Ἰωάννου ἐγένετο παρά τινος Μελίτωνος· ἡ ἑλληνικὴ ἐστι γνωστὴ ὑπὸ τὸ ὄνομα τοῦ Προχόρου (ἐξεδ. in. B. M. Patr. tom. II. ἐν μέρει ἐν τῷ Μηναίῳ Σεπτ. 26. Ἴδ. Thilo Act. Thomae p. LXXV.), καὶ περιέχει ἐν τῷ ς'. κεφ. ἀντίφασιν πρὸς τὸν Εὐσέβιον (γ'. 24) καὶ τὸν Ἱερώνυμον (de vir. illustr. c. de Joanne). Ἐν τῷ β'. κεφ. περὶ τῆς οἰκοδομῆς ναοῦ ἐν Ῥώμῃ ἐπὶ Δομιτιανοῦ, περὶ τῆς διαμονῆς τοῦ Ἰωάννου παρὰ τῷ βαλανεῖ καὶ περὶ τοῦ μάγου, περιέχει εἰμὴ καθαρὸν πλάσμα καὶ μῦθον, δύσμορφον ἀλήθειαν· ἐν τῇ Συνόψει τοῦ Ἀθανασίου καλεῖται *ἀπόκρυφον*.

β'] Τὴν διήγησιν περὶ τοῦ θανάτου τῆς Θεοτόκου (Gelas. decr. de apocr. Sermo ad Paulum et Eustach. Hieron.) Ἡ λατιν. ἐκκλογὴ ἐγένετο ἐκ ταύτης ὑπὸ τοῦ Μελίτωνος. Ἡ ἑλλην. γνωστὴ ὑπὸ τὸ ὄνομα Ἰωάννου τοῦ Θεολόγου· Greg. Turon. l. I. mirac c. 4. ἐξεδ. Bibl. M. Lugduni T. II. p. 2.

2] Οἱ *Μαρκώσιοι*, κλάδος τοῦ Οὐαλεντίνου, ἐξέδωκαν τὸ *Εὐαγγέλιον τῆς νηπιότητος τοῦ Ἰησοῦ Χριστοῦ* (Εἰρην. κατὰ αἱρ. ά. 20), ὅπερ ἐκαλεῖτο καὶ *Εὐαγγέλιον τοῦ Θωμᾶ* (Ὠριγ. ὁμιλ. ά. εἰς Λουκ. Τ. 3. 902), ἢ *λόγοι τοῦ Ἰσραηλίτου*

κλησίας στρέψωσι νῦν τὴν ἑαυτῶν προσοχὴν εἰς τὸ χωρίσαι τὰ θεόπνευστα βιβλία ἀπὸ πάντων τῶν ἔργων τοῦ ἀνθρωπίνου νοός, καὶ καταστήσωσιν αὐτὰ γνωστὰ τοῖς πᾶσι. Τοῦτο ἦν ὄντως ἀντικείμενον ἀτρύτων κόπων τῶν πεφωτισμένων διδασκάλων τούτου τοῦ χρόνου. Πρὸς τοῦτο ἠσχολοῦντο τότε οὐ μόνον περὶ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς, ἀλλὰ καὶ περὶ τὴν κριτικὴν ἐπιθεώρησιν τοῦ κειμένου καὶ τὴν εἰς διαφόρους γλώσσας μετάφρασιν. Τοιούτῳ τρόπῳ ἐγένοντο αἱ μεταφράσεις τῆς ἁγίας Γραφῆς λατινική τε καὶ συριακή (¹).

Θωμᾶ. Τὸ βιβλίον τοῦτο ὑπὸ τὸ ὄνομα Εὐαγγελίου τοῦ Ἀποστόλου Θωμᾶ ἦν ἐν ἰδίᾳ χρήσει παρὰ τοῖς Μανιχαίοις (ἴδ. Thilo cod. Apoc. praef. p. LXXXIX. ἐξεδόθη ἐν Λειψίᾳ τῷ 1832). Αὐτὸς ὁ Οὐαλεντῖνός ἐστι γνωστὸς διὰ τὴν αὐθαίρετον ἑρμηνείαν τῆς ἁγίας Γραφῆς, καὶ κατ' ἐξοχὴν τοῦ Εὐαγγελίου (Tertul. de praescript. 37. 388).

3] Οἱ Καρποκρατιανοὶ ἐξετίθεσαν παραδόσεις τοῦ Ἀποστόλου Ματθία, ἄλλως καλουμένας *Εὐαγγέλιον τοῦ Ματθία* (Κλήμ. ὁ Ἀλεξ. Στρωμ. Γ'. ϛ'. Εὐσέβ. ἐκκλ. ἱστορ. γ'. 25. 29. Ὠριγ. ὁμιλ. α'. εἰς Λουκ. Τ. 3. σελ. 932).

4] Οἱ Μανιχαῖοι ἠγάπων κατ' ἐξοχὴν τὰ ἀπόκρυφα (Faust ap. August. cont. Faust. 17. Tom. VIII. pag. 306).

(¹) Πιθανὸν κατὰ τὸ ἥμισυ τοῦ ϛ'. αἰῶνος ἐγένοντο αἱ μεταφράσεις τῆς Κ. Δ. λατινιστὶ καὶ συριαστί. Περὶ τῆς λατιν. μεταφράσεως λέγει ὁ ἅγιος Αὐγουστῖνος, ὅτι ἐγένετο primis fidei temporibus, δηλ. ἅμα τῷ θεμελιωθῆναι τοπικὴν ἐκκλησίαν, καὶ ταύτην ἐκάλει ἐκ τοῦ τόπου, ἔνθα ἐγένετο, *Italam* (de doctr. Christ. P. II. c. 16), οὐχὶ δὲ ρωμαϊκήν. Ὁ Τερτυλλιανὸς ἔλεγε περὶ αὐτῆς, ὡς γενομένης ἤδη πρὸ αὐτοῦ, οὐ κατὰ πάντα εὐνοϊκῶς περὶ αὐτῆς ἀποφαινόμενος: callida aut simplex eversio (δηλ. mala versio) in usum exiit ἴδ. de monogamia c. 11. adv. Prax. c. 5. 1. 2. adv. Marcion. c. 4.—Ὁ καιρός, καθ' ὃν ἐγένετο ἡ συρ. μετάφρασις τῆς Κ. Δ. οὐχ ὥρισται ἀκριβῶς. Γνωστὸν μόνον, ὅτι ὁ Βαρδησάνης ἔγραψεν ἐν Συρίᾳ τῷ 160-180 πολλὰ συγγράμματα συριαστὶ πρὸς ἀνασκευήν, πρὸς τοῖς ἄλλοις, καὶ τοῦ Μαρκίωνος, καὶ ὅτι τὰ συγγράμματα αὐτοῦ μετεφράσθησαν ἑλληνιστί. Τοῦτο δ' ἄγει ἡμᾶς εἰς τὸ ὑποθεῖναι, ὅτι πρὸ τούτου ἠδύναντο καὶ βεβαίως ἐφρόντισαν μεταφράσαι τὴν Κ. Δ συριαστὶ (Εὐσέβ. ἐκκλησ. ἱστορ. δ'. 28. Θεοδώρ. αἱρ. κακομ. ά. 22. Hieron. de Bardesane). Περὶ τῆς μεταφράσεως τῆς Π. Δ. εἰς τὴν συριακὴν γλῶσσαν ἀναμφιβόλως γνωστόν, ὅτι ὑπῆρχε κατὰ τὸν δεύτερον αἰῶνα, εἰ μόνον οὐκ ἐγένετο ἔτι πρότερον. Κατὰ τὸν δεύτερον αἰῶνα ἦν ἤδη γνωστὴ καὶ ἡ μετάφρασις τῆς συρ. Π. Δ. εἰς τὴν ἑλληνικὴν γλῶσσαν.

§ 32. *Βοηθήματα τῆς ἐκπαιδεύσεως ἔκτακτα καὶ συνήθη.*

Πρὸς πάντας τοὺς τοιούτους ἀγῶνας ἡ χάρις τοῦ Χριστοῦ ἐνίσχυε τοὺς διδασκάλους τῆς ἐκκλησίας τῇ τε ἐσωτερικῇ αὐτῆς βοηθείᾳ καὶ τοῖς ἐξωτερικοῖς σημείοις, ἅπερ καὶ ἐν τῷ χρόνῳ τούτῳ οὕτω συνεχῶς ἐτελοῦντο, ὥστε ὁ σύγχρονος αὐτῶν ἅγιος Εἰρηναῖος ἀδύνατον ἡγεῖτο τὴν ἐξαρίθμησιν αὐτῶν (1).

Ἐν τούτοις ἀφ᾽ ἑνὸς μὲν ἡ ἀσυνήθης ἀφθονία τῶν ἐκτάκτων σημείων, ἡ ὡρισμένη δι᾽ ἀσυνήθη χρόνον, οἷος ἦν ὁ τῆς ἐπιφανείας καὶ δόξης ἐπὶ τῆς γῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ—τοῦ Σωτῆρος τοῦ κόσμου· ἀφ᾽ ἑτέρου δὲ τὰ συνήθη ἀνθρώπινα βοηθήματα τῆς ἐκπαιδεύσεως, καθαγιασθέντα διὰ τῆς χρήσεως αὐτῶν εἰς δόξαν τῆς πίστεως διὰ τοῦ Ἀποστόλου Παύλου, ἀγωνισαμένου κατ᾽ ἐξοχὴν πρὸς τοὺς σοφοὺς τοῦ αἰῶνος, ἦσαν ἰδίως ἀναγκαῖα διὰ τὴν μετὰ τὸν ἀποστολικὸν αἰῶνα ἐποχήν. Οὕτως ὁρῶμεν, ὅτι μετὰ τὴν κλῆσιν τῶν Ἀποστόλων αὐτὸς ὁ Κύριος, ὁτὲ μὲν ἐκάλει εἰς διακονίαν τῆς πίστεως τοὺς λαβόντας ἀνθρωπίνην ἐκπαίδευσιν, ἐθνικὴν ἔτι τότε—ὁτὲ δὲ καθίστη ἐπὶ τῶν χρόνων ἔτι τῶν Ἀποστόλων τὸν βαθμὸν τῶν διδασκάλων, διακρινόμενον τοῦ τῶν Ἀποστόλων, ἐμπιστευόμενος αὐτοῖς τὸ ἔργον τῆς μορφώσεως τῶν μελλόντων τῆς ἐκκλησίας διδασκάλων. Ὁ Ἀπόστολος ἔγραφε τῷ ἀποστολικῷ ἀνδρὶ Τιμοθέῳ: «ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι». Γινώσκων δηλ. ὁ Ἀπόστολος, ὅτι τὰ ἀσυνήθη μέσα τῆς ἐκπαιδεύσεως ἐν τῇ πίστει οὐκ ἀείποτε ἔσονται ἐν τῇ ἐκκλησίᾳ, καὶ εἰ ἔσονται, οὐ δεῖ προσδοκᾷν ταῦτα μετ᾽ ὀλιγωρίας τῶν συνήθων, ἐντέλλεται προπαρασκευάσαι διὰ τῆς διδασκαλίας πιστοὺς ἀνθρώπους εἰς τὸ διδασκαλικὸν ἀξίωμα. Τὰ περιστατικὰ ἐδείκνυον, ὅτι ἐν τῇ πρὸς τοὺς λογίους ἐθνικούς τε καὶ Ἰουδαίους πάλῃ ἀναγκαία ἦν καὶ ἡ ἀνθρωπίνη παιδεία. Ἐπ᾽ ἴσης ἦν ἀναγκαία πρὸς ἔλεγχον τῶν αἱρετικῶν, ὑψηλοφρονούντων ἐπὶ τῇ γνώσει τῶν ἀπορρήτων μυστηρίων τοῦ Θεοῦ. Καθορῶντες τοίνυν οἱ

(1) Κατὰ αἱρέσ. βιβλ. δ΄. κεφ. 41. πρβλ. βιβλ. β΄. 57. 58. Εὐσέβ. ἐκκλησ. ἱστορ. ε΄. 18.

χριστιανοὶ τὴν ἀνάγκην τῆς ἐκπαιδεύσεως ἀπέστελλον τὰ τέκνα αὐτῶν καὶ εἰς τὰς ἐθνικὰς σχολάς. «Ἡ ἀνάγκη ἔλεγεν ὁ Τερτυλλιανός, συγχωρεῖ τῷ διδασκομένῳ, διότι ἄλλως οὐκ ἠδύνατο διδαχθῆναι (1). Οὕτω δ' ἔμελλον ἱδρυθῆναι καὶ χριστιανικὰ διδασκαλεῖα, ὅσον τοὐλάχιστον ἠδύναντο ἐπιτρέπειν αἱ περιστάσεις τοῦ τότε χρόνου.

§ 33. *Διδασκαλεῖα ἐν Ἀλεξανδρείᾳ, Καισαρείᾳ καὶ ἀλλαχόθι.*

Ἐκ τῶν λόγων τοῦ Εὐσεβίου καὶ Ἱερωνύμου γινώσκομεν, ὅτι ἐν Ἀλεξανδρείᾳ, ἔνθα (2) ἦν τὸ περίφημον μουσεῖον τῶν φιλολογικῶν μαθηματικῶν καὶ φιλοσοφικῶν ἐπιστημῶν, ἱδρύθη ἀπὸ τῶν ἀποστολικῶν ἔτι χρόνων χριστιανικὸν διδασκαλεῖον, κατηχητικὸν διδασκαλεῖον ὀνομαζόμενον(3). Τὸ μὲν πρῶτον ἐδιδάσκοντο ἐν αὐτῷ μόνον τὰ στοιχειώδη μαθήματα τῆς πίστεως(4) οἱ βουλόμενοι δέξασθαι τὸ βάπτισμα, σύναμα δὲ προπαρεσκευάζοντο ἐν αὐτῷ καὶ αὐτοὶ οἱ κατηχηταί. Ὁ Ἀθηναγόρας (5) καὶ ὁ Πάνταινος (189—195), ὡς ἀρχηγοὶ τοῦ διδασκαλείου τούτου, πρῶτοι τῇ δυνάμει τῶν φυσικῶν αὐτῶν χαρισμάτων συνήνουν ἐν ταῖς διδασκαλίαις αὐτῶν τὴν θεολογικὴν παιδείαν μετὰ τῆς φιλοσοφικῆς μαθήσεως, ἀλλ' οὐχὶ τοσοῦτον, ὅσον ὁ διάδοχος τοῦ Πανταίνου Κλήμης, ὅστις συνέστησε τοῖς μαθηταῖς αὐτοῦ τὴν φιλοσοφίαν, ὡς ὁδηγὸν τῇ πίστει (6). Ὁ διάδο-

(1) Lib. de Idololatria.

(2) Στράβ. Γεωγρ. 17. § 8.

(3) Εὐσέβ. ἐκκλ. ἱστ. ε΄. 10.

(4) Ὁ Εὐσέβιος (ς΄. 6) λέγει, ὅτι ὁ Ὠριγένης ἐν τοῖς πρώτοις αὐτοῦ ἔτεσιν ἠκροάσατο τοῦ Κλήμεντος.

(5) Φίλιππος ὁ Σιδίτης ἱστορεῖ περὶ τοῦ Ἀθηναγόρα, ὅτι πρῶτος προέστη τοῦ ἐν Ἀλεξανδρείᾳ διδασκαλείου (ἔν τινι τεμαχίῳ ἐκ τῶν τοῦ Νικηφόρου Καλλίστου, ἐκδοθέντι ὑπὸ Dodwellus). Ὁ ἐκκλησιαστικὸς οὗτος συγγραφεύς ἐστι γνωστὸς ἐκ τῆς ἀπολογίας, ἣν ἔδωκε τῷ Μάρκῳ Αὐρηλίῳ—καὶ ἐκ τοῦ περὶ ἀναστάσεως τῶν νεκρῶν συγγράμματος (ἐξεδ. ἑλλην. καὶ λατινιστὶ ἐν Κολωνίᾳ τῷ 1567 μετὰ τῶν συγγραμμάτων τοῦ Ἰουστίνου ἐν Παρισίοις τῷ 1615. 1636).

(6) Ὁ Πάνταινος ἠκροάσατο τῶν μαθητῶν τῶν Ἀποστόλων (Εὐσέβ.

χος τοῦ Κλήμεντος Ὠριγένης ἐπλάτυνε τὸν κύκλον τῶν ἀντικειμένων τῆς διδασκαλίας ἐν τούτῳ τῷ διδασκαλείῳ. Ἡ ἔκτακτος συρροὴ τῶν ἐπιθυμούντων ἀκροάσασθαι αὐτοῦ, ὁτὲ μὲν τὴν κατήχησιν τῆς χριστιανικῆς πίστεως, ὁτὲ δὲ τὴν διδασκαλίαν περὶ τῶν μυστηρίων τοῦ λόγου τοῦ Θεοῦ, καὶ ἄλλοτε τέλος κτήσασθαι γνώσεις τῶν φιλοσοφικῶν, φιλολογικῶν καὶ μαθηματικῶν ἐπιστημῶν, ἠνάγκασε τὸν Ὠριγένην διελεῖν τοὺς μαθητὰς αὐτοῦ εἰς δύο τάξεις. Οἱ μέλλοντες ἀκροάσασθαι τῶν στοιχειωδῶν μαθημάτων τῆς πίστεως, ὡς καὶ τῶν προεισαγωγικῶν φιλοσοφικῶν ἐπιστημῶν—τῶν φιλολογικῶν καὶ τῆς ἀριθμητικῆς, παρεδίδαντο τῷ Ἡρακλᾷ· αὐτὸς δὲ ὁ Ὠριγένης ἀνέλαβε τὴν παράδοσιν τῶν ὑψηλῶν τῆς πίστεως διδασκαλιῶν καὶ τῶν ὑψηλῶν φιλοσοφικῶν γνώσεων [1]. Μετὰ τὸν Ὠριγένην ἡγήσαντο τοῦ διδασκαλείου τούτου [2] ὁ Διονύσιος [223—264] [3], ὁ

ἐκκλ. ἱστορ. ε΄. 10. ς΄. 16. Χρον. Ἀλεξ. σ. 7. Φώτ. ἀνάγν. 118.) Ὁ Εὐσέβιος (έ. 9, 10) λέγει: «...Κόμμοδος τὴν ἡγεμονίαν παραλαμβάνει, οὗ κατὰ τὸ πρῶτον ἔτος τῶν κατ' Ἀλεξάνδρειαν ἐκκλησιῶν Ἰουλιανὸς ἐγχειρίζεται τὴν ἐπισκοπήν... ἡγεῖτο δὲ τηνικαῦτα (τῷ 181) τῆς τῶν πιστῶν αὐτόθι διατριβῆς τῶν ἀπὸ παιδείας ἀνὴρ ἐπιδοξότατος, ὄνομα αὐτῷ Πάνταινος, ἐξ ἀρχαίου ἔθους διδασκαλείου τῶν ἱερῶν λόγων παρ' αὐτοῖς συνεστῶτος, ὃ καὶ εἰς ἡμᾶς παρατείνεται, καὶ πρὸς τῶν ἐν λόγῳ καὶ τῇ παρὰ τὰ θεῖα σπουδῇ δυνατῶν συγκροτεῖσθαι παρειλήφαμεν· ἐν δὲ τοῖς μάλιστα κατ' ἐκεῖνο καιροῦ διαλάμψαι λόγος ἔχει τὸν δεδηλωμένον, οἷα καὶ ἀπὸ φιλοσόφου ἀγωγῆς τῶν καλουμένων στωϊκῶν ὁρμώμενον».

(1) Ἴδ. Κλήμ. Στρωμ. Ζ΄. σελ 710. Δ΄. 500. Α΄. 274,284.

(2) Εὐσέβ. ἐκκλ. ἱστορ. ζ΄. 32.

(3) Ἡ τάξις τῶν ἀρχηγῶν τοῦ διδασκαλείου τούτου δέδεικται ὑπὸ Φιλίππου τοῦ Σιδίτου· περὶ ἑκάστου ἐν λεπτομερείᾳ καὶ μετὰ μαρτυριῶν ποιεῖται λόγον ὁ Ἔριγκε ἐν τῷ ἐξαιρέτῳ αὐτοῦ συγγράμματι: de Schola Alexandrina Par. I. et. II. Halae Saxon. 1824. Περί τινων ἄλλων ἐροῦμεν καὶ ἡμεῖς κατωτέρω.

Πιέριος [265—281] ([1]), ὁ Θεόγνωστος ([2]) [282—89], ὁ Σεραπίων [290—295], Πέτρος ὁ μάρτυς [295—312], προσελκύσαντες διὰ τοῦ ζήλου αὐτῶν πολλοὺς ἀκροατὰς εἰς τὸ ἀλεξανδρινὸν διδασκαλεῖον, κατ' ἐξοχὴν δὲ ὁ Πιέριος, ὃν ἐκάλουν νέον Ὠριγένην, καὶ ὃς εἶχε συνεταῖρον τὸν Ἀχιλλᾶν ([3]).

Ὅτε ὁ Ὠριγένης, καταλιπὼν τὴν Ἀλεξάνδρειαν, ἐποιεῖτο τὰς διατριβὰς ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, ἵδρυσε [τῷ 223] ἐνταῦθα νέον διδασκαλεῖον, εἰς ὃ συνέρρεον πανταχόθεν, ἀκροασόμενοι τοῦ περιδόξου διδασκάλου. Ὁ ἅγιος Πάμφιλος [τῷ 278] ἀνεκαίνισεν αὐτό, κλεισθὲν ἀπὸ τῆς ἐν τῷ δεσμωτηρίῳ καθείρξεως τοῦ Ὠριγένους. Ὁ μαθητὴς τοῦ Πιερίου ἐπλούτισε τὴν βιβλιοθήκην τοῦ διδασκαλείου ([4])

([1]) Hieron. «Pierius, Alexandrinae Ecclesiae presbyter, sub Caro et Diocletiano principibus, eo tempore, quo eam Ecclesiam Theonas episcopus regebat, florentissime docuit populum, et in tantam sermonis diversorumque tractatuum, qui usque hodie extant, venit elegantiam, ut Origenes junior vocaretur. Constat, hunc mirae (fuisse) ἀσκήσεως et appetitorem voluntariae paupertatis scientissimumque dialecticae et Rhetoricae artis». de vir illustr. c. 76. ὁ Φώτιος (ἀνάγν. 119), καλῶν τὸν Πιέριον ἀρχηγὸν τοῦ διδασκαλείου καὶ μάρτυρα, γράφει, ὅτι συνέγραψε βιβλίον, περιέχον δώδεκα λόγους μεταξὺ τῶν ἄλλων εἰς τὸ Πάσχα καὶ τὸν Ὠσηὲ (πρβ. Ἱερων. προλεγ. εἰς Ὠσηέ). Τῷ Φωτίῳ ἦν ἔτι γνωστὴ ἑρμηνεία τοῦ Πιερίου εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, τῷ δὲ Ἱερωνύμῳ εἰς τὴν Α΄. πρὸς Κορινθίους ἐπιστ. τοῦ Ἀποστόλου Παύλου (ep. XXXI. ap Pammach.). Ἀλλὰ πάντα ταῦτα ἀπώλοντο.

([2]) Ὁ Φώτιος (ἀνάγν. 106) λέγει: «Ἀνεγνώσθησαν Θεογνώστου Ἀλεξανδρείας λόγοι ἑπτά· οὗ ἡ ἐπιγραφὴ «τοῦ μακαρίου Θεογνώστου Ἀλεξανδρέως καὶ ἐξηγητοῦ ὑποτυπώσεις». Ὁ ἅγιος Ἀθανάσιος ἐχρῆτο μάρτυρι τῷ Θεογνώστῳ ἐν τῇ πρὸς τοὺς Ἀρειανοὺς πάλῃ, τάσσων αὐτὸν ἐν τοῖς παλαιοῖς θαυμασίοις ἀνδράσι (περὶ τῶν ψήφων τῆς ἐν Νικαίᾳ συνόδ. κεφ. 25).

([3]) Εὐσέβ. ἐκκλ. ἱστορ. ζ΄. 32.

([4]) Hieron. «Beatus Pamphilus martyr, cujus vitam Eusebius Caesariensis tribus ferme voluminibus explicavit, cum Demetrium Phalereum et Pisistratum in sacro Bibliothecae studio vellet aequare, imaginesque ingeniorum, quae vera sunt et aeterna monumenta, toto orbe perquireret, tunc vel maxime Origenis libros impensius prosecutus, Caesariensi Ecclesia dedicavit». Ep. ad Marcel.—de vir illustr. c. LXXV. Ὁ Ἱερώνυμος εὗρισκε πολλὰ βοηθήματα ἐν τῇ βιβλιοθήκῃ ταύτῃ. ἴδ. de vir illustr. c. III. LXXV. comment. ad Titum c. III.

διὰ πολλῶν βιβλίων, καὶ ἐκλέϊσεν αὐτὸ διὰ τῶν διαπρεψάντων ἀκροατῶν αὐτοῦ (¹).

Ἐν Ἱεροσολύμοις δὲ, τοὐλάχιστον ἦν γνωστὴ ἡ βιβλιοθήκη, ἡ ὑπὸ Ἀλεξάνδρου — τοῦ φίλου τοῦ Ὠριγένους (²) ἱδρυθεῖσα, εἰ μὴ ὑπῆρχε σχολὴ ὁμοία τῷ κατ᾽ ἀρχὰς ἀκμάσαντι Ἀλεξανδρινῷ διδασκαλείῳ (³).

Καθ᾽ ὃν δὲ χρόνον ὁ ἅγιος Πάμφιλος ἀνεκαίνιζε τὸ ἐν Καισαρείᾳ διδασκαλεῖον, ὁ ἅγιος Λουκιανός, ὁ Ἀντιοχείας πρεσβύτερος, ἀνέῳξε περὶ τὸ 282 διδασκαλεῖον ἐν Ἀντιοχείᾳ (⁴)· ὁ Λουκιανὸς ἠκροάσατο πρότερον τῆς ἑρμηνείας τῆς γραφῆς ἐν Ἐδέσσῃ παρὰ τῷ ὁμολογητῇ Μακαρίῳ (⁵).

§ 34. *Τάσις τῶν διδασκάλων καὶ ἀπαρίθμησις τῶν Πατέρων.*

Τὸ διδασκαλεῖον τῆς Ἀντιοχείας, βραδύτερον τῶν ἄλλων ἱδρυθέν, ἐγένετο περιφανὲς κυρίως κατὰ τὸν τέταρτον αἰῶνα. Τότε ἐξεδηλώθη ἡ ἰδιάζουσα τάσις τῶν ἐν αὐτῷ ἐκπαιδευθέντων. Τοὐναντίον δὲ τὸ ἰδιάζον πνεῦμα τοῦ τῆς Ἀλεξανδρείας, οὕτω πρὸ πολλοῦ ἱδρυθέντος, ἐξεδηλώθη ἐν πᾶσι τοῖς διδασκάλοις τούτου τοῦ χρόνου, τοῖς ἐν αὐτῷ ἐκπαιδευθεῖσιν· ὁ Κλήμης, ὁ Ὠριγένης, ὁ Ἀλέξανδρος, ὁ Διονύσιος, ὁ Γρηγόριος, ὁ Πέτρος, — πάντες διεκρίνοντο μιᾷ καὶ τῇ αὐτῇ τάσει πρὸς τὰς πνευματικὰς θεωρίας, καί τοι οὐ κατὰ τὸ αὐτὸ μέτρον πάντες. Κατὰ τὴν διαφορὰν τῶν ἐσωτερικῶν αὐτῶν διαθέσεων καὶ ἐν μέρει τῶν ἐξωτερικῶν περιστάσεων, ἡ τάσις αὕτη κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐξεδήλου τὰς ἐνεργείας αὐτῆς ἐν τῇ εἰς τὴν ἁγίαν Γραφὴν ἑρμηνείᾳ αὐτῶν, ἐν μέρει δὲ ἐν τῇ ἐκ-

(¹) Νικηφ. ὁ Κάλλιστ. ἐκκλ. ἱστ. έ. 18. ἴδ. περὶ Ὠριγένους καὶ Παμφίλου.

(²) Εὐσέβ. ς΄. 20. Τοῖς χειρογράφοις τῆς βιβλιοθήκης ταύτης ἐχρήσατο ὁ Εὐσέβιος ἐν τῇ συντάξει τῆς ἱστορίας αὐτοῦ.

(³) Εἰς τὴν ὑπόθεσιν ταύτην ἄγει κατ᾽ ἐξοχὴν ἡ ἐκπαίδευσις τοῦ ἁγίου Κυρίλλου τοῦ Ἱεροσολύμων.

(⁴) Εὐσέβ. ἐκκλ. ἱστορ. Θ΄. 6.

(⁵) Act. LXXXVIII ad XV et XVII Januarii.

θέσει τῶν δογμάτων καὶ ἐν τῇ πρὸς τὴν ἀνθρωπίνην φιλοσοφίαν ἀπόψει. Ἡ αὐτὴ τάσις φανερῶς παρατηρεῖται ἐν τοῖς συγγράμμασι τῶν ἁγίων Ἰουστίνου καὶ Θεοφίλου, ὧν ἡ παίδευσις ἐγένετο ὑπὸ τὴν ἐπιρροὴν τῆς αὐτῆς πλατωνικῆς φιλοσοφίας, ἣν ἠγάπων ἐν Ἀλεξανδρείᾳ. Ὅλως διάφορος ἰδιότης παρατηρεῖται ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Εἰρηναίου, ὅς, γενόμενος ἀκουστὴς ἀποστολικοῦ ἀνδρός, ἠγάπα κατ' ἐξοχὴν τὴν ἀποστολικὴν παράδοσιν, ἧ ὑπερήσπιζε τὴν πίστιν κατὰ τῆς αὐθαιρεσίας τῶν αἱρετικῶν. Ἡ ἀπὸ τῶν θεωριῶν ἀποφυγὴ αὐτοῦ, καίπερ μὴ προβαίνουσα μέχρι τῆς καταφρονήσεως αὐτῶν (1), καθίστησιν ἡμῖν καταληπτὰς ἰδιαιτέρας τινὰς αὐτοῦ ἰδέας. Τὸ αὐτὸ ὁρῶμεν ἐν τοῖς συγγράμμασι Μελίτωνος τοῦ Σάρδεων, ἐκπαιδευθέντος ἐν τῇ μικρᾷ Ἀσίᾳ, ἔνθα ἐξεπαιδεύθη καὶ ὁ ἅγιος Εἰρηναῖος μετὰ τοῦ μαθητοῦ αὐτοῦ Ἱππολύτου. Ἐν τῇ μικρᾷ Ἀσίᾳ διέμειναν ἐπὶ πολὺν χρόνον οἱ Ἀπόστολοι, παιδεύσαντες πολλοὺς μαθητάς. Ἐκ τούτου ἐτήρουν ἐνταῦθα θερμοτάτην ἀγάπην πρὸς πᾶν ἀποστολικόν.

Καίπερ κτώμενοι διαφόρους τάσεις, οἱ διδάσκαλοι ταύτης τῆς ἐποχῆς εἶχον, ὡς γενικὸν χαρακτῆρα, τὴν τάσιν τοῦ ἐκτιθέναι τὴν διδασκαλίαν κατὰ τὸ μᾶλλον ἢ ἧττον συστηματικῶς, κατὰ τὰς ἀπαιτήσεις τῆς λογικῆς σκέψεως, χρώμενοι ἐπ' ὠφελείᾳ ἰδίᾳ πάσῃ δυνατῇ πολυμαθείᾳ. Ἡ γνῶσις τῆς ἱστορίας, τῆς φιλοσοφίας, τῆς μυθολογίας, καὶ τῶν διαφόρων θρησκειῶν, καθίστη αὐτοὺς ἱκανοὺς παραβάλλειν τὸν χριστιανισμὸν πρὸς τὰς ἀνθρωπίνους διδασκαλίας, καὶ ἀποδεικνύναι τὴν θείαν ἀρχὴν τῆς τοῦ Χριστοῦ διδασκαλίας καὶ τὴν γηΐνην τῶν ἀνθρωπίνων δοξασιῶν. Ἡ ποικιλία τῶν γνώσεων, ὑποβαλλομένη τῇ ἐπεξεργασίᾳ τῆς λογικῆς σκέψεως, ἐξετίθει ὠφελίμως τὴν παιδείαν αὐτῶν ἐνώπιον τοῦ τε ἰουδαϊκοῦ καὶ τοῦ ἐθνικοῦ κόσμου, καὶ ἀνύψου τὴν ὑπ' αὐτῶν ὑπερασπιζομένην πίστιν ἐνώπιον τοῦ δικαστηρίου τοῦ αὐτοῦ κόσμου.

Χρώμενοι τῇ φιλοσοφίᾳ πρὸς διασάφησιν τῆς πίστεώς τινες τῶν

---

(1) Κατὰ αἱρέσ. βιβλ. ά. 10.

διδασκάλων, καίπερ πάνυ εὐφυεῖς ὄντες καὶ δὴ ἀκραιφνῶς εὐσεβεῖς, οὐ περιωρίζοντο ἐν τοῖς ὁρίοις τῆς νομίμου χρήσεως τοῦ λογικοῦ, καὶ περιέπιπτον εἰς ἀπάτας. Πρὸς ἀπολογίαν αὐτῶν χρησιμεύει καὶ τὸ ὅτι ἡ πεῖρα διδάξαι αὐτοὺς οὐκ ἠδύνατο εἰσέτι, ἵνα ἔχωσι τὰς ἀναγκαίας προφυλάξεις εἰς τὴν ἐπιστημονικὴν καὶ πολυμαθῆ, ὡς λέγομεν, διασάφησιν τῆς ἀποκεκαλυμμένης πίστεως, τὸ δὲ κατὰ τὴν ἐποχὴν ταύτην πνεῦμα τοῦ μυστικῶς φιλοσοφεῖν ἐξήσκει μεγάλην ἐπιρροὴν ἐπὶ τοῦ νοὸς αὐτῶν.

Ἐκ τῶν διδασκάλων τῆς ἐκκλησίας τοῦ δευτέρου καὶ τρίτου αἰῶνος (¹) ἐν τῇ σειρᾷ τῶν ἁγίων Πατέρων ἵστανται Ἰουστῖνος ὁ φι-

---

(¹) Διδάσκαλοι τῆς ἐποχῆς ταύτης εἰσίν: α) *Ἀθηναγόρας* ὁ φιλόσοφος † 177 (ἴδ. σημ. 22), ὁ *Ἡγήσιππος* ἐξ ἑβραίων χριστιανός (τῷ 170), ἀποστολικὸς ἀνήρ, ὁ πρῶτος ἐκκλησιαστικῆς ἱστορίας ἀψάμενος, ἐξ ἧς περιεσώθησαν μόνον τεμάχιά τινα (ἐξεδ. ὑπὸ Grabe Spicil. Patr. 2, 205—214)· *Τατιανὸς* ὁ φιλόσοφος (τῷ 173), ἀπολογητής (ὁ λόγος αὐτοῦ πρὸς τοὺς *Ἕλληνας* ἐξεδόθη ὑπὸ Μαρανοῦ ἐν Παρισ. τῷ 1742), ὁ *Ῥόδων*, μαθητεύσας ἐν Ῥώμῃ παρὰ τῷ Τατιανῷ, ἐπὶ Κομμόδου καὶ Σευήρου ἔγραψε *βιβλίον κατὰ τῶν Μαρκιωνιτῶν*, καὶ *ὑπόμνημα εἰς τὴν ἑξαήμερον* (τὰ διασωθέντα τεμάχια παρὰ Ῥουθίῳ Reliquiæ 1, 345—356)· *Ἑρμείας* ὁ φιλόσοφος, ἀκμάσας κατὰ τὸν δεύτερον αἰῶνα, διασύρας τὸν ἐθνισμὸν (ὁ ὑπ' αὐτοῦ συγγραφεὶς *διασυρμὸς τῶν ἔξω φιλοσόφων* ἐξεδόθη μετὰ τῶν συγγραμμάτων τοῦ μάρτυρος Ἰουστίνου καὶ τοῦ Τατιανοῦ ἐν Παρισίοις τῷ 1742)· *Μάξιμος*, ὁ Ἱεροσολύμων, συγγράψας *περὶ ὕλης* σύγγραμμα, οὗ τεμάχιον σώζεται ἐν τῇ Φιλοκαλίᾳ τοῦ Ὠριγένους κεφ. 24,), ὁ *Πάνταινος* τῷ 181, ἴδ. σημ. 23.)· ὁ *Μινούκιος Φῆλιξ*, ὑπέρμαχος τοῦ χριστιανισμοῦ τῷ 210, καταλιπὼν ἐξαίρετον διάλογον ἐπιγραφόμενον Ὀκταύϊος (Octavins) (ἐξεδ. ἐν Λουγδ. Βατ. τῷ 1709 ὑπὸ Γρονοβίου, ἐν Λαγγοσαλίσσῃ τῷ 1760 ὑπὸ Λινδνέρου, ἐν Τιγύρῳ τῷ 1836 ὑπὸ Ἐδουάρδου Μουράλτου)· ὁ *Ἰούλιος Ἀφρικανὸς* τῷ 220, συγγράψας *χρονολογίαν* (μέρη αὐτῆς ἐν τῇ χρονολογίᾳ τοῦ Συγκέλου, ἐν τῇ εὐαγγελ. προπαρ. τοῦ Εὐσεβίου καὶ ἐν τῇ εὐαγγελ. Ἀποδ., καὶ παρὰ τῷ Ἱερωνύμῳ Comment. in Deniel. C. IX.), καὶ δύο ἐπιστολὰς (Galland. Bibl. I. II.)· *Γάϊος*, ὁ πρεσβύτερος τῆς Ῥώμης (τῷ 220), συγγράψας κατὰ τοῦ μοντανιστοῦ Πρόκλου (disputatio advers. Proclum)· *Διονύσιος*, ὁ Ῥώμης ἀποθ. τῷ 269, συνέγραψε τρεῖς ἐπιστολάς, ὧν ἡ μὲν δευτέρα καὶ ἡ τρίτη ἀπο-

λόσοφος, Θεόφιλος ὁ Ἀντιοχείας, ὁ Μελίτων, Διονύσιος ὁ Κορίνθου, ὁ Ἀπολινάριος, ὁ Εἰρηναῖος, ὁ Σεραπίων, ὁ Ἱππόλυτος, ὁ Κυπριανός, Γρηγόριος ὁ θαυματουργός, Διονύσιος ὁ Ἀλεξανδρείας, Ἀρχέλαος ὁ Κεσχάρων, Θεωνᾶς ὁ Ἀλεξανδρείας, Φιλέας ὁ Θμουΐτῶν, Γρηγόριος ὁ Φωτιστής, ὁ Πάμφιλος, ὁ Λουκιανός, ὁ Μεθόδιος, καὶ Πέτρος ὁ Ἀλεξανδρείας. Ἡ δραστηριότης καὶ τὰ συγγράμματα τοῦ Τερτυλλιανοῦ, Κλήμεντος τοῦ Ἀλεξανδρέως, καὶ τοῦ Ὠριγένους ἐξήσκουν μεγίστην ἐπιρροὴν ἐπὶ τῶν συγχρόνων αὐτοῖς. Διὰ πολλοὺς λόγους τὰ συγγράμματα αὐτῶν εἰσι σπουδαῖα ἐν παντὶ καιρῷ, τηλικαύτην δὲ ἀξίαν ἔχοντα, ἐφέλκουσιν ἐφ' ἑαυτῶν τὴν προσοχήν. Καίπερ οὐκ ἀξιωθέντες οἱ τελευταῖοι οὗτοι τῆς ἐπωνυμίας τῶν ἁγίων πατέρων, ὅμως εἰσὶ μεγάλοι διδάσκαλοι.

ΜΕΡΙΚΗ ΕΠΙΘΕΩΡΗΣΙΣ.

§ 35. *Βίος τοῦ ἁγίου Ἰουστίνου.*

Μετὰ τοὺς ἀποστολικοὺς ἄνδρας τὴν πρώτην ἐπέχει θέσιν ὁ ἅγιος Ἰουστῖνος, ὁ φιλόσοφος τό τε ὄνομα καὶ τὴν παιδείαν (α), διδάσκαλος τῆς ἐκκλησίας ἔχων τόν τε ζῆλον καὶ τὸ πνεῦμα τῶν Ἀποστόλων (β), διὰ δὲ τὸν μαρτυρικὸν αὐτοῦ θάνατον, μάρτυς τοῦ Χριστοῦ ἐπικαλούμενος (γ).

λέσθησαν, τῆς δὲ πρώτης μακρὸν τεμάχιον σώζεται παρὰ τῷ ἁγίῳ Ἀθανασίῳ (Galland. Bibl. I. III, 358)· *Ἀνατόλιος* ὁ Λαοδικείας, ἀκμάσας ἐπὶ τῆς Βασιλείας τοῦ Αὐρηλιανοῦ μέχρι τοῦ αὐτοκράτορος Κάρου, συνέγραψεν *ἀριθμητικὰς εἰσαγωγὰς καὶ κανόνας περὶ τοῦ Πάσχα* (Galland. I. III. Fabr. Bibl. Gr. I. 274)· ὁ *Πιέριος* (σημ. 27)· *Ἀλέξανδρος ὁ Λυκοπολίτης* † 300, γνωστὸς ἐκ τοῦ συγγράμματος αὐτοῦ τοῦ ἐπιγραφομένου *περὶ τῶν δογμάτων τῶν Μανιχαίων*· ἐξεδόθη ὑπὸ Κομβεφισίου ἐν τῷ Auct. novis. Bibl. PP. Paris. P. II., οὗ τὴν ἔκδοσιν παρεδέξατο καὶ ὁ Γαλλάνδιος in Bibl. Patr. T. IV. —

(α) Φιλόσοφος ἐκλήθη διὰ τὰ φιλοσοφικὰ αὐτοῦ συγγράμματα (Hieron. de vir. illustr. i. 23). Σ. Μ.

(β) Ἐπιστ. πρὸς Διόγν. κεφ. 11. ed. Ben. p. 591. ed. col. Ἀποστόλων γενόμενος μαθητής· ὁ Μεθόδ. παρὰ Φωτίῳ (ἀνάγν. 234) λέγει: «Ἰουστῖνος—ἀνὴρ οὔτε τῷ χρόνῳ πόρρω ὢν τῶν Ἀποστόλων, οὔτε τῇ ἀρετῇ»· ἴδ. Εὐσ. Ἐκκλ. Ἱστορ. β' 13. «Μετ' οὐ πολὺ τῶν Ἀποστόλων ἐν τῷ καθ' ἡμᾶς διαπρέψας λόγῳ». Σ. Μ.

(γ) Ἤδη ὑπὸ τοῦ Τερτυλλιανοῦ (adv. Valent. I. 5) τῇ ἐπωνυμίᾳ τοῦ Μάρτυρος καλεῖται. Σ. Μ.

Ἐγεννήθη περὶ τὸ ρε΄. σωτήριον ἔτος ἐν Φλαυΐᾳ Νεαπόλει, τῇ πάλαι καλουμένῃ Συχέμ (δ). Ἡ Νεάπολις τότε κατῳκεῖτο ὑπὸ Ἑλλήνων καὶ Ῥωμαίων, καὶ ἐν αὐτῇ ἐπεκράτει ἡ ἑλληνικὴ γλῶσσα. Ὁ Πατὴρ τοῦ Ἰουστίνου Πρίσκος καὶ ὁ πάππος αὐτοῦ Βακχείας ἦσαν ἐθνικοί, ὥς περ καὶ ὁ Ἰουστῖνος (1).

Ὁ Κύριος ἐδωρήσατο τῷ Ἰουστίνῳ διανοητικὰ χαρίσματα καὶ ἔρωτα πρὸς τὰς ἐπιστήμας· ἐζήτει μετὰ δίψης τὴν ἀλήθειαν· ἐν αὐτῷ ὁρῶμεν, ἡλίκην δύναμιν ἔχει ἡ πρὸς τὴν ἀλήθειαν ἔμφυτος ἀγάπη ὡς πρὸς τὴν πίστιν, ὅτε μόνον τὰ πάθη οὐδόλως ἐπηρεάζουσιν αὐτῇ. Ἐφιέμενος τῆς ἀληθείας, ὡς αὐτὸς διηγεῖται, ἐπέδωκεν ἑαυτὸν Στωϊκῷ τινι, μεθ' οὗ διατρίψας ἱκανὸν χρόνον, ἐπεὶ οὐδὲν νέον περὶ Θεοῦ ἔμαθε παρ' αὐτοῦ, ἀγνοοῦντος αὐτὸν καὶ μηδόλως ἀναγκαίαν ἡγουμένου τὴν τούτων γνῶσιν, ἀνεχώρησεν (*)· Εἶτα δὲ ἦλθε

(δ) Ἡ πόλις αὕτη λέγει ὁ σοφὸς καὶ πολυσέβαστος Καθηγητὴς Κ. Κοντογόνης, ἐκ τῶν ἐπισημοτάτων τῆς Σαμαρείας, ἔλαβε τέσσαρα ὀνόματα· καὶ τὸ μὲν πρῶτον, τὸ καὶ ἀρχαιότερον, εἶναι *Συχέμ*, ἀπαντώμενον ἐν τῇ ἁγ. Γραφῇ, καὶ παρὰ τῷ Ἰωσήπῳ· τὸ δὲ δεύτερον, *Μαμορθὰ* (Plin. Hist. Nat. V. 14. . . . .) τὸ τρίτον, *Νεάπολις*, ὡς παρ' Εὐσεβίῳ καὶ Ἐπιφανίῳ εὑρίσκεται· καὶ τὸ τέταρτον, *Φλαυΐα*, ἀφ' οὗ ὁ αὐτοκράτωρ Φλαΰϊος ὁ Οὐεσπασιανὸς κατέστησεν ἐκεῖ ἑλληνικὴν ἀποικίαν, ὡς ἀναγινώσκομεν ἐπὶ νομισμάτων τῆς ἐποχῆς ἐκείνης· Φλαυϊοπολιτῶν Σαμαρέων, ἢ Φλ. Ν. Π. Συρίας ΠΑΛ. -- Κατ' ἄλλους ὅμως ἡ Φλαυΐα εἶναι ὅλως νέα τῷ ὄντι πόλις, κτισθεῖσα ἐπὶ τῶν ἐρειπίων τῆς ἀρχαίας Συχέμ» (Φιλολόγ. καὶ κριτ. ἱστορ. τῶν Πατ. Τομ. ά. σελ. 172). Σ.Μ.

(1) Ἀπολ. Ά. 1. Διαλ. πρὸς Τρύφων· «μηδὲ διστάζετε πιστεῦσαι τῷ ἀπεριτμήτῳ ἐμοί.» πρβλ. § 41. σελ. 138. § 120. «οὐδὲ γὰρ ἀπὸ τοῦ γένους τοῦ ἐμοῦ, λέγω δὲ τῶν Σαμηρέων». σελ. 213. Ἡ γνώμη τοῦ Ἐπιφανίου (κατὰ αἱρέσ. 46. 1.), ὅτι ὁ Ἰουστῖνος ἐπέστρεψεν εἰς τὴν χριστιανικὴν πίστιν ἀπὸ τῆς τῶν Σαμαρειτῶν, ἐστὶν οὐκ ὀρθή, ἢ οὐκ ἀκριβής.

(*) Sa première halte fut dans l' école stoicienne, λέγει ὁ σοφὸς E. de Pressensé, qui avait le privilége d' attirer les nobles âmes par son austérité; mais pour s' y rallier definitivement, il fallait avoir renoncé aux grands problèmes de la philosophie, car elle les interdisait à ses adeptes comme un jeu puéril; au fond sons sa fière attitude elle cachait une honteuse

πρός τινα Περιπατητικόν, ὃς μετ᾿ οὐ πολλὰς ἡμέρας ᾔτει παρ᾿αὐτοῦ μισθὸν ἀντὶ τῆς σοφίας αὐτοῦ. Τοῦτο βαθέως ἐλύπησεν αὐτόν, ἀφιλοκερδῶς ζητοῦντα τὴν ἀλήθειαν. Ὁ Ἰουστῖνος καταλιπὼν μετὰ λύπης καὶ τοῦτον τὸν περὶ κέρδους μεριμνῶντα Περιπατητικόν, προσῆλθεν εὐδοκιμοῦντι μάλιστα Πυθαγορείῳ, μέγα ἐπὶ τῇ ἰδίᾳ μυστηριώδει σοφίᾳ φρονοῦντι καὶ ἀπαιτοῦντι τὰς προκαταρκτικὰς γνώσεις τῆς μουσικῆς, καὶ ἀστρονομίας καὶ γεωμετρίας, ὡς ἐπιστημῶν προπαρασκευαζουσῶν τὴν ψυχὴν πρὸς τὴν θεωρίαν τοῦ ὑψίστου καλοῦ. Μετ᾿ ἀφελείας ὡμολόγησεν ὁ Ἰουστῖνος, ὅτι οὐκ ἠσχολήθη περὶ ταύτας τὰς ἐπιστήμας, καὶ ὁ Πυθαγόρειος ἀπέπεμψεν αὐτόν. Τοῦτο ὅμως οὐκ ἠλάττωσε τὴν πρὸς τὴν φιλοσοφίαν ἀγάπην αὐτοῦ. Ἐντυχὼν Πλατωνικῷ, συνετῷ ἀνδρὶ καὶ προὔχοντι ἐν τοῖς Πλατωνικοῖς, συνδιέτριβεν αὐτῷ ὡς τὰ μάλιστα, καὶ προέκοπτε, καὶ πλεῖστον ὅσον ἑκάστης ἡμέρας ἐπεδίδου. «Καί με ᾕρει σφόδρα, λέγει, ἡ τῶν ἀσωμάτων νόησις, καὶ ἡ θεωρία τῶν ἰδεῶν ἀνεπτέρου μοι τὴν φρόνησιν, ὀλίγου τε ἐντὸς χρόνου ᾤμην σοφὸς γεγονέναι, καὶ ὑπὸ βλακείας ἤλπιζον αὐτίκα κατόψεσθαι τὸν Θεόν.» Πορευθεὶς δέ ποτε εἰς ἐρημίαν πρὸς μελέτην, ἐνέτυχε κατὰ τὴν ὄχθην τῆς θαλάσσης γέροντί τινι, πρᾷον καὶ σεμνὸν ἦθος ἐμφαίνοντι, καὶ σέβας αὐτῷ ἐμποιήσαντι. Συνδιαλεξάμενος αὐτῷ ὁ Ἰουστῖνος, ἐνεκωμίασε τὴν φιλοσοφίαν. Τοῦτο ἔδωκεν ἀφορμὴν τῷ γέροντι ποιήσασθαι λόγον περὶ γνώσεως τῆς ἀληθείας· εἶπε τῷ Ἰουστίνῳ περὶ τοῦ πρώτου Αἰτίου πάντων, δεικνὺς τὴν πρώτην πηγὴν τῆς γνώσεως τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου· ἔπειτα δ᾿ ἐποιήσατο λόγον περὶ τῶν ὑψηλῶν τοῦ Θεοῦ μυστηρίων, ἀποδεικνύς, ὅτι ταῦτα οὐκ ἐγίνωσκεν ὁ Πλάτων, ὅτι τὸ ἀνθρώπινον πνεῦμα οὐ δύναται μαθεῖν αὐτὰ ἀφ᾿ ἑαυτοῦ, ὅτι τὴν περὶ αὐτῶν γνῶσιν δύναται μεταδοῦναι μόνος αὐτὸς ὁ Θεός, καὶ ὅτι αὕτη ἐκτέθειται ἐν τοῖς συγγράμμασιν ἀνδρῶν ἀρχαιοτέρων ἁπάντων τῶν φιλοσόφων, ἐν τοῖς συγγράμμασι τῶν προφητῶν, ὑπ᾿ αὐτοῦ τοῦ Πνεύματος τοῦ Θεοῦ διδαχθέντων, καὶ ἀποκαλυψάντων τὸ ὕψιστον μυστήριον τοῦ Λυτρωτοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἐν τῷ ἐπιλόγῳ

abdication de la pensée. C' était alors une doctrine de vieillards désabusés cherchant à mourir debout» (Hist. de trois prem. siècles de l' Églse chrétième, deux. série). l. p. 193). Σ. Μ.

ὁ γέρων συνεβούλευσε τῷ Ἰουστίνῳ προσεύχεσθαι, ἵνα αὐτὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἀποκαλύψῃ αὐτῷ τὴν γνῶσιν τῆς ἀληθείας Αὐτοῦ. «Ἐμοῦ δὲ παραχρῆμα, λέγει, πῦρ ἐν τῇ ψυχῇ ἀνήφθη, καὶ ἔρως ἔχει με τῶν προφητῶν, καὶ τῶν ἀνδρῶν ἐκείνων, οἵ εἰσι Χριστοῦ φίλοι· διαλογιζόμενός τε πρὸς ἐμαυτὸν τοὺς λόγους αὐτοῦ, ταύτην μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον» (1). Πιθανὸν θεωρεῖται, ὅτι ἡ ὁμιλία αὕτη ἐγένετο παρὰ τὴν Ἔφεσον μετὰ τοῦ ἁγίου Πολυκάρπου (2).

Ἐν ταῖς ἐπαρχίαις τῆς αὐτοκρατορίας κατεδίωκον τότε ὠμῶς τοὺς χριστιανοὺς (3), καὶ ἐσυκοφάντουν αὐτούς. Ὁ Ἰουστῖνος, ὁρῶν τοὺς χριστιανοὺς καταφρονοῦντας τὸν θάνατον καὶ πάντα τἄλλα νομιζόμενα φοβερά, ἐνόησεν, ὅτι οἱ ἄνθρωποι οὗτοι οὐκ εἰσὶ τοιοῦτοι, οἵους οἱ ἐχθροὶ αὐτῶν ἠβούλοντο παραστῆσαι. «Ἄνθρωπος φιλήδονος, ἢ ἀκρατής, καὶ ἀνθρωπίνων σαρκῶν βορὰν ἀγαθὸν ἡγούμενος, οὐ δύναται ἀσπάζεσθαι θάνατον», ἔκρινεν ὁ Ἰουστῖνος (4). Τοῦτο ἐκράτυνε τὸ πνεῦμα αὐτοῦ εἰς τὴν πίστιν τοῦ Χριστοῦ, καὶ τὸ τριακοστὸν ἔτος τῆς ζωῆς αὐτοῦ (περὶ τὸ 133) (5), ἐδέξατο τὸν χριστιανισμόν. Περιβεβλημένος δὲ τὸν φιλοσοφικὸν τρίβωνα, περιήρχετο ἔπειτα πολλὰς χώρας, ἐπιποθῶν μεταδοῦναι καὶ τοῖς ἄλλοις τὸν θησαυρὸν ἐκεῖνον, ὃν ἐκτήσατο ἤδη ἡ ψυχὴ αὐτοῦ· διελέγετο μετὰ ζή-

(1) Διάλ. πρὸς Τρύφ. § 2-7. σελ. 218-225. Ὅτι ὁ Ἰουστῖνος πρὸ τῆς ἐπιστροφῆς αὐτοῦ εἰς τὴν χριστιανικὴν θρησκείαν περὶ πολλοῦ ἐποιεῖτο τὸν Πυθαγόραν, καὶ λίαν ἠγάπα τὸν Πλάτωνα, ὑπάρχουσι μαρτυρίαι καὶ ἐν ἄλλοις συγγράμμασιν. Ἀπολογ. Β΄. § 12. σελ. 26. Περὶ ἀναστάσ. — § 10 σελ. 595.

(2) Ἡ ὁμιλία ἐγένετο παρὰ τὴν ἀκτὴν τῆς θαλάσσης. Τοῦτο σύμφωνον τῇ θέσει τῆς Ἐφέσου, ἀλλ' οὐδόλως τῇ τῆς Φλαυΐας Νεαπόλεως. Ὁ κατὰ τῶν χριστιανῶν διωγμὸς (ἴδ. σημ. 4.) ἐμαίνετο ἐν τῇ Μικρᾷ Ἀσίᾳ καὶ Ἑλλάδι, οὐχὶ δὲ ἐν Παλαιστίνῃ.

(3) Ὁ διωγμὸς οὗτος, ἐπὶ Ἀδριανοῦ συμβάς, ἠγέρθη ὑπὸ τοῦ ὄχλου καὶ τῶν κολακευόντων αὐτὸν ἐν ταῖς ἐπαρχίαις ἀρχόντων.

(4) Ἀπολ. Β΄. § 12.

(5) Ἐπιφ. αἱρ. 46. «Οὗτος γὰρ ὁ Ἰουστῖνος Σαμαρείτης ἦν τὸ γένος, εἰς Χριστὸν πεπιστευκώς, καὶ μεγάλως ἐξασκηθείς, ἀρετῆς τε βίον ἐνδειξάμενος, τὸ τέλος ὑπὲρ Χριστοῦ μαρτυρήσας τελείου στεφάνου καταξιοῦται ἐπὶ Ρουστικοῦ ἡγεμόνος καὶ Ἀδριανοῦ βασιλέως, ἐτῶν τριάκοντα ὑπάρχων ἐν καθεστώσῃ ἡλικίᾳ». Εὐσέβ. ἐκκλ. ἱστ. δ΄. 8.

λου πρὸς τοὺς Ἰουδαίους, τοὺς ἐθνικούς, καὶ τοὺς αἱρετικοὺς (¹). Ἐν Ῥώμῃ ἀνέῳξε διδασκαλεῖον τῆς χριστιανικῆς εὐσεβείας (²), καὶ ἐδίδασκε τὴν ἀλήθειαν τοῦ Χριστοῦ (³)· ἀντιπράττων δὲ μετὰ σταθερότητος τῷ τότε ἐν Ῥώμῃ ἰσχυρῷ Μαρκίωνι, ἔγραψε κατ' αὐτοῦ βιβλίον καὶ ἕτερον κατὰ τῶν ἄλλων αἱρέσεων (⁴). Ἐν τῇ ἀρχῇ τῆς κυβερνήσεως τοῦ νέου Αὐτοκράτορος ὁ ὄχλος καὶ οἱ κολακεύοντες αὐτὸν ἐπαρχιακοὶ ἄρχοντες οὐκ ἐπαύοντο διώκοντες τοὺς χριστιανούς. Ὁ Ἰουστῖνος, συγγράψας Ἀπολογίαν, ἐνεχείρισεν αὐτὴν αὐτῷ τῷ αὐτοκράτορι (τῷ 139) Ἀντωνίῳ τῷ Εὐσεβεῖ (⁵).

(¹) Διάλ. πρὸς Τρύφωνα § 8. «Βουλοίμην δ' ἂν καὶ πάντας, ἴσον ἐμοὶ θυμὸν ποιησαμένους, μὴ ἀφίστασθαι τῶν τοῦ Σωτῆρος λόγων. Δέος γάρ τι ἔχουσιν ἐν ἑαυτοῖς καὶ ἱκανοὶ δυσωπῆσαι τοὺς ἐκτρεπομένους τῆς ὀρθῆς ὁδοῦ, ἀνάπαυσίς τε ἡδίστη γίνεται τοῖς ἐκμελετῶσιν αὐτούς». αὐτόθ. § 82. «Πᾶς ὁ δυνάμενος λέγειν τὸ ἀληθὲς καὶ μὴ λέγων, κριθήσεται ὑπὸ τοῦ Θεοῦ, ὡς διὰ τοῦ Ἰεζεκιὴλ διεμαρτύρατο ὁ Θεὸς εἰπών, ὅτι «σκοπὸν τέθηκά σε τῷ οἴκῳ Ἰούδα. Ἐὰν ἁμάρτῃ ὁ ἁμαρτωλός, καὶ μὴ διαμαρτύρῃ αὐτῷ, αὐτὸς μὲν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀπολεῖται, παρὰ σοῦ δὲ τὸ αἷμα αὐτοῦ ἐκζητήσω. Ἐὰν δὲ διαμαρτύρῃ αὐτῷ, ἀθῷος ἔσει». Περὶ τοῦ φιλοσοφικοῦ τρίβωνος λέγει ὁ Τερτυλλιανός: gaude Pallium et exsulta· melior jam te philosophia dignata est, ex quo Christianum vestire coepisti» (de pallio). ἴδ. Διάλ. πρὸς Τρύφ. § 1.

(²) Εὐσέβ. δ'. 5. Εἰρην. ά. 31. ἴδ. σημ. 14.

(³) Μαρτύρ. τοῦ ἁγίου Ἰουστίνου § 3. Hieron. catal. c. 23. ludum litterarum enexit.

(⁴) Ἀπολογ. Α'. § 26 καὶ 58. Εὐσέβ. δ'. 11. Εἰρην. κατὰ αἱρέσ. δ'. 14. σελ. 233. Φώτ. ἀνάγν. 125. Κεδρ. ἱστορ. σελ. 205.

(⁵) Ἡ ἀρχὴ τῆς Ἀπολογίας: «Αὐτοκράτορι Τίτῳ Αἰλίῳ Ἀδριανῷ *Ἀντωνίνῳ* εὐσεβεῖ Σεβαστῷ Καίσαρι καὶ *Οὐηρισσίμῳ* υἱῷ φιλοσόφῳ, καὶ *Λουκίῳ* φιλοσόφῳ Καίσαρος φύσει υἱῷ, καὶ Εὐσεβοῦς εἰσποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ, καὶ δήμῳ παντὶ Ῥωμαίων». Ἐνταῦθα ὁ Μάρκος Αὐρήλιος, ὃν ὁ Ἀδριανὸς διέταξεν ὀνομάζειν Οὐηρίσσιμον, καλεῖται μόνον φιλόσοφος, ἀλλ' οὔπω Καῖσαρ· ἐπειδὴ δὲ ἦν ὕπατος τῷ 140 καὶ Καῖσαρ ἐκλήθη τῷ 139 (Capitol. vit. Marci. § 6.), ἕπεται βεβαίως ὅτι ἡ Ἀπολογία ἐδόθη οὐ βραδύτερον τοῦ 139. Ὁ Εὐσέβ. ἐν τῷ χρονικῷ (ed. Maii in collect. vet. auet. T. VII.) ἀνάγει αὐτὴν εἰς τὸ τρίτον ἔτος τοῦ Ἀντωνίνου Α'. δηλ. εἰς τὸ 140. Ἡ κατάστασις τῶν χριστιανῶν, οἵα παρίσταται ἐν τῇ Ἀπολο-

Ἡ Ἀπολογία αὕτη οὐκ ἔμεινεν ἄνευ ἀποτελέσματος. Ὁ αὐτοκράτωρ ἐξέδωκε διάταγμα μὴ καταδιώκειν τοὺς χριστιανοὺς ἐπὶ μόνῳ τῷ ὀνόματι χριστιανός [1]. Ὁ Ἰουστῖνος ἀπῆλθε μετὰ σπουδῆς εἰς Ἀσίαν, φέρων τὴν ἀγγελίαν ταύτην. Ἐν Ἐφέσῳ διελέχθη πρὸς τὸν σοφὸν Ἰουδαῖον Τρύφωνα, ὃν ὁ Εὐσέβιος ἀποκαλεῖ τῶν τότε Ἰουδαίων ἐπισημότατον [2]. Ἐπανελθὼν δὲ εἰς Ῥώμην ἠσχολεῖτο πάλιν περὶ τὰς πρώτας αὐτοῦ ἀσχολίας[3].

Ἐπὶ τοῦ νέου αὐτοκράτορος, τοῦ φιλοσόφου Μάρκου Αὐρηλίου, ἤρξατο αὖθις ὁ κατὰ τῶν χριστιανῶν διωγμός. Τρεῖς τῶν μαθητῶν τοῦ Ἰουστίνου[4] ἐβασανίσθησαν ἐν Ῥώμῃ ὑπὸ τοῦ ἐπάρχου Οὐρβανοῦ. Ὁ Ἰουστῖνος ἐγίγνωσκε καλῶς, ὅσον φθονοῦσιν αὐτῷ οἱ ἐθνικοὶ καὶ οἱ Ἰουδαῖοι διὰ τὸν ὑπὲρ πίστεως ζῆλον αὐτοῦ. Ἀλλὰ τοῦτο οὐδαμῶς ἐκώλυσεν αὐτὸν δοῦναι (περὶ τὸ 165) ἑτέραν Ἀπολογίαν τοῖς αὐτοκράτορσι Μάρκῳ Αὐρηλίῳ καὶ Ἀντωνίνῳ Βήρῳ [5] καὶ τῇ γερουσίᾳ ὑπὲρ τῆς καταδιωκομένης ἀληθείας τοῦ Χριστοῦ. «Κἀγὼ οὖν προσδοκῶ, ἔγραφεν ὁ ἅγιος Ἰουστῖνος, ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι καὶ ξύλῳ ἐμπαγῆναι, ἢ κἂν ὑπὸ Κρίσκεντος τοῦ φιλοψόφου καὶ φιλοκόμπου, οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα, ὅς γε περὶ ἡμῶν ἃ μὴ ἐπίσταται, δημοσίᾳ καταμαρτυρεῖ». Οὕτω καὶ ἐγένετο· ὁ Κυνικὸς Κρίσκης, ἐχθρὸς τῆς χριστιανικῆς πίστεως, ἐλεγχθεὶς ὑπὸ τοῦ Ἰουστίνου διὰ τὸν περιωρισμένον μέν, ἀλλ' ὑπερήφανον αὐτοῦ νοῦν, καὶ τὸν ἐπιλήψιμον βίον, ἐσυκοφάντησε τὸν Ἰουστῖνον καὶ παρέδωκεν αὐτὸν τῷ δικαστηρίῳ [6]. Εἰς τί συνίσταται τὸ δόγμα τῶν χρι-

γίᾳ ἐπ' ἴσης πείθει ανενεγκεῖν αὐτὴν εἰς τὰ πρῶτα ἔτη τοῦ Ἀντωνίνου. Ὁ Ἰουστῖνος γράφει: «πρὸ ἐτῶν ἑκατὸν πεντήκοντα γεγεννῆσθαι τὸν Χριστὸν λέγειν ἡμᾶς ἐπὶ Κυρηνίου» (Ἀπολ. Α΄. § 46), ἀλλ' ἐστιν ἀπολογητής, καὶ οὐ χρονολόγος. Ἴδ. περὶ Δαυΐδ Ἀπολ. Α΄ § 42. σελ. 62.

(1) Εὐσέβ. ἐκκλ. ἱστ. δ΄. 12,13.

(2) Ἐκκλ. ἱστορ. δ΄. 18.

(3) Μαρτύρ. τοῦ ἁγ. Ἰουστίνου. Ruinarti Act. Martyr. Veronae 1731.

(4) Ὁ Πτολεμαῖος καὶ δύο ἄλλοι. Ἀπολ. Β΄. πρβλ. μαρτ. τοῦ ἁγίου Ἰουστ. § 2, 3.

(5) Εὐσέβ. ἐκκλ. ἱστ. δ΄. 16.17.

(6) Ἀπολ. Β΄. 3. Τατιαν. πρὸς Ἕλλην. § 19. Hier. de vir illust. c. 23.

τιανῶν; ἠρώτησεν ὁ ἔπαρχος Ρουστικὸς τὸν Ἰουστῖνον. «Ὅπερ εὐσεβοῦμεν εἰς τὸν τῶν χριστιανῶν Θεόν, ὃν ἡγούμεθα ἕνα τοῦτον ἐξ ἀρχῆς Ποιητὴν καὶ Δημιουργὸν τῆς πάσης κτίσεως, ὁρατῆς τε καὶ ἀοράτου· καὶ Κύριον Ἰησοῦν Χριστὸν παῖδα Θεοῦ, ὃς καὶ προκεκήρυκται ὑπὸ τῶν Προφητῶν μέλλων παραγίνεσθαι τῷ γένει τῶν ἀνθρώπων σωτηρίας κήρυξ καὶ διδάσκαλος καλῶν μαθητῶν» ἀπεκρίνατο ὁ Ἰουστῖνος. Ὁ Ἔπαρχος λέγει πρὸς τὸν Ἰουστῖνον. «Ἄκουε ὁ λεγόμενος λόγιος, καὶ νομίζων ἀληθινοὺς εἰδέναι λόγους· ἐὰν μαστιγωθεὶς ἀποκεφαλισθῇς, πέπεισαι, ὅτι μέλλεις μεταβαίνειν εἰς τὸν οὐρανόν;» Ἰουστῖνος εἶπεν· «ἐλπίζω ἕξειν αὐτοῦ τὰ δόγματα, ἐὰν ὑπομείνω ταῦτα· οἶδα γὰρ πᾶσι τοῖς οὕτω βιώσασι παραμένειν τὸ θεῖον χάρισμα μέχρι τῆς ἐκπληρώσεως τοῦ κόσμου.» Ὁ Ρουστικὸς εἶπεν. «Σὺ οὖν ὑπονοεῖς, ὅτι ἀναβήσῃ εἰς τοὺς οὐρανούς, ἀμοιβάς τινας ἀποληψόμενος;» «Οὐχ ὑπονοῶ, ἀλλ' ἐπίσταμαι καὶ πεπληροφόρημαι» (1), ἀπεκρίνατο ὁ Ὁμολογητής. Μετ' εὐψυχίας ὑπέστη μετὰ ταῦτα ὁ ἅγιος Ἰουστῖνος βάσανα, καί, κατὰ τὸν Εὐσέβιον, «Θείῳ κατεκοσμήθη μαρτυρίῳ» (2). Τοῦτο συνέβη τῷ 166ῳ σωτηρίῳ ἔτει(3).

§ 36. *Συγγράμματα: Α'. Ἀπολογία.*

Τὰ ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἰουστίνου φερόμενα συγγράμματά εἰσι τὰ ἑξῆς: Δύο Ἀπολογίαι, Λόγος παραινετικὸς πρὸς

(1) Ἴδ. μαρτύριον τοῦ ἁγ. Ἰουστίνου παρὰ Ρουϊνάρτῳ (Act. Mart. T. I. p. 132). Ὁ ἔπαρχος Ἰούλιος Ρουστικὸς ἦν Στωϊκὸς φιλόσοφος, διδάσκαλος τοῦ Μάρκου Αὐρηλίου. Ὁ αὐτοκράτωρ ἠγάπα αὐτὸν καὶ κατέστησεν ὕπατον καὶ ἔπαρχον Ῥώμης. Digest. C. 49. l. I. Dapitol. vit. M. Anton. § 3. Θεμίστ. λόγ. 34. σελ. 451. 463.

(2) Εὐσέβ. ἐκκλ. ἱστ. δ'. 16.

(3) Χρον. Ἀλεξ. ed Raderi p.666. Εὐσέβ. δ'. 16. Hieron. Catal. c. 23. Φώτ. ἀνάγν. 125. Semisch. üb. Todes jahr justins des Mârtyrers in Studien und Kritiken 1835. Ὁ Ἐπιφάνιος προφανῶς ἀπατᾶται λέγων, ὅτι ὁ Ἰουστῖνος ἐμαρτύρησεν ἐπὶ τοῦ Ἀδριανοῦ· ἀλλ' ὀρθῶς καλεῖ ἔπαρχον τὸν Ρουστικόν. Ἡ μνήμη τοῦ ἁγ. Ἰουστίνου τελεῖται τῇ ά. Ἰουνίου.

Ἕλληνας, περὶ ἀναστάσεως, Διάλογος πρὸς Τρύφωνα ([1]).

Ὑπόθεσις τῆς πρώτης Ἀπολογίας. Ὁ Ἰουστῖνος ἀποδοὺς μετὰ σεβασμοῦ τοῖς αὐτοκράτορσι τὸ ὄνομα τοῦ Εὐσεβοῦς, καὶ πεποιθὼς ἐπὶ τὴν ἀξίαν τῶν χριστιανῶν, ὧν κατεφρόνουν, κατατάσσων ἑαυτὸν ἐν τοῖς χριστιανοῖς, λέγει μετὰ θάρρους πρὸς τοὺς αὐτοκράτορας: «ὑμεῖς μὲν οὖν ὅτι λέγεσθε εὐσεβεῖς καὶ φιλόσοφοι, καὶ φύλακες δικαιοσύνης, καὶ ἐρασταὶ παιδείας, ἀκούεται πανταχοῦ, εἰδὲ καὶ ὑπάρχετε, δειχθήσεται. Οὐ γὰρ κολακεύοντες ὑμᾶς διὰ τῶνδε τῶν γραμμάτων, οὐδὲ πρὸς χάριν ὁμιλήσοντες, ἀλλ' ἀπαιτήσοντες κατὰ τὸν ἀκριβῆ καὶ ἐξεταστικὸν λόγον τὴν κρίσιν ποιήσασθαι προσεληλύθειμεν, μὴ προλήψει μηδ' ἀνθρωπαρεσκείᾳ τῇ δεισιδαιμόνων κατεχομένους, ἢ ἀλόγῳ ὁρμῇ, καὶ χρονίᾳ προκατεσχηκυίᾳ φήμῃ κακῇ τὴν καθ' ἑαυτῶν ψῆφον φέροντας». Ἔπειτα δὲ ἀνακηρύττων τὰς χριστιανικὰς ἀληθείας, ἄρχεται ἀνασκευάζων τὴν μίαν μετὰ τὴν ἄλλην πάσας τὰς αἰτίας, δι' ἃς κατεδίωκον τοὺς χριστιανοὺς οἱ αὐτοκράτορες (§ 1).

Τοὺς χριστιανοὺς κατεδίωκον διὰ μόνον τὸ ὄνομα χριστιανός· ὁ φιλόσοφος λέγει: «ὀνόματος μὲν οὖν προσωνυμίᾳ οὔτε ἀγαθόν, οὔτε κακὸν κρίνεται ἄνευ τῶν ὑποπιπτουσῶν τῷ ὀνόματι πράξεων· ἐπεί, ὅσον τε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος, χρηστότατοι ὑπάρχομεν. Ἀλλ' ἐπεὶ οὐ τοῦτο δίκαιον ἡγούμεθα, διὰ τὸ ὄνομα, ἐὰν κακοὶ ἐλεγχώμεθα, αἰτεῖν ἀφίεσθαι, πάλιν, εἰ μηδὲν διά τε τὴν προσηγορίαν τοῦ ὀνόματος, καὶ διὰ τὴν πολιτείαν εὑρισκόμεθα ἀδικοῦντες, ὑμέτερον ἀγωνιᾶσαί ἐστι, μή, ἀδίκως κολάζοντες τοὺς μὴ ἐλεγχομένους, τῇ δίκῃ κόλασιν ὀφλήσητε». (§ 2, 3, 4,)

([1]) Ἡ ἀρίστη τῶν ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἁγίου Ἰουστίνου ἐστὶν ἡ τοῦ Βενεδικτινοῦ μοναχοῦ Προυδεντίου Μαρανοῦ (op. S. Gustini omnia, quae extant una cum ep. ad Diognetum item Tatiani, Athenagorae, Theophili Antiocheni et Hermiae Philosophi cum appendice Gr. lat. Paris. 1742. Μετετυπώθη ἀλλ' ἄνευ σημειώσεων ὑπὸ τοῦ Ὀβερθύρου. Op. S. justini Wicegurg. 1777-78. III. ὑπὸ τοῦ Γαλλανδίου in. Bibl. Patr. T. 2. Op. S. Justini omnia gr. lat. ed. Otto T. 1-3 jenae. 1842, 1843 μετὰ βραχειῶν μέν, ἀλλὰ πάνυ ὠφελίμων σημειώσεων· ὑπὸ τοῦ Μιγνίου Patrol. t. VI.

Ἔπειτα δὲ μὴ εὑρίσκων ἄλλην αἰτίαν τοῦ πρὸς τοὺς χριστιανοὺς φθόνου τῶν ἐθνικῶν, εἰμὴ μόνον τὸ ὄνομα, ἀνάγει τὴν αἰτίαν τούτου εἰς τὸν Διάβολον ὡς τὸν μόνον ἐχθρὸν τῆς ἀληθείας (§ 5).

Τοὺς χριστιανοὺς ἐκάλουν ἀθέους· ὁ φιλόσοφος ἀποκρίνεται: «ἐνθένδε καὶ ἄθεοι κεκλήμεθα. Καὶ ὁμολογοῦμεν τῶν τοιούτων νομιζομένων θεῶν ἄθεοι εἶναι, ἀλλ᾽οὐχὶ τοῦ ἀληθεστάτου, καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύνης, καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τε κακίας Θεοῦ· ἀλλ᾽ Ἐκεῖνόν τε καὶ τὸν παρ᾽Αὐτοῦ Υἱὸν ἐλθόντα καὶ διδάξαντα ἡμᾶς ταῦτα, καὶ τὸν τῶν ἄλλων ἑπομένων καὶ ἐξομοιουμένων ἀγαθῶν ἀγγέλων στρατόν. Πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα καὶ προσκυνοῦμεν, λόγῳ καὶ ἀληθείᾳ τιμῶντες, καὶ παντὶ βουλομένῳ μαθεῖν, ὡς ἐδιδάχθημεν, ἀφθόνως παραδιδόντες (§ 6).

Δείκνυσιν, ὅτι οἱ ἀληθεῖς χριστιανοὶ οὐκ ἀρνοῦνται τὸν Χριστὸν διὰ τοῦτο καὶ μόνον διότι ἐκτιμῶσι τὴν ἀλήθειαν τοῦ θεοῦ διὰ τὴν αἰώνιον σωτηρίαν· οὐ προσφέρουσι τοῖς θεοῖς θυσίας, διότι οὐκ εἰσὶ θεοί, ἀλλ᾽ ἔργον χειρῶν ἀνθρώπων ξεόντων, τεμνόντων, χωνευόντων, καὶ τυπτόντων αὐτούς· καὶ διότι ὁ Θεὸς Πνεῦμα ὤν, οὐκ αἰτεῖ ὑλικὰς θυσίας (§ 7—10).

Δείκνυσιν, ὅτι οἱ χριστιανοὶ ζητοῦσιν οὐ τὰ ἐπίγεια, ἀλλὰ τὰ οὐράνια, καὶ ὑπὲρ αὐτῶν ὁμιλεῖ ὁ ὑγιὴς νοῦς (§ 11—13).

Ἐπειδὴ δὲ πάντα τὰ προρρηθέντα ὑπὸ τοῦ « Υἱοῦ τοῦ Πατρὸς πάντων» πραγματικῶς ἐξεπληρώθησαν, ἀποδείκνυσι τὴν ἁγιότητα τῆς ἀληθείας αὐτοῦ (14, 15). Τὸ δ᾽αὐτὸ ἀποδείκνυσι καὶ ἐσωτερικῶς διὰ τῆς ὑπεροχῆς τῆς θεωρητικῆς καὶ πρακτικῆς διδασκαλίας καὶ πρὸς τοῦτο φέρει μαρτυρίας τῶν δοκίμων ἐθνικῶν φιλοσόφων, προστιθεὶς τὰ ἑξῆς: «ἔστω ὑμῖν γνωστόν, ὅτι ἐστὶ τελέως ἀληθὲς τὸ ὑφ᾽ἡμῶν λεγόμενον, διδαχθέντων παρὰ τοῦ Χριστοῦ καὶ τῶν προφητῶν, ἀρχαιοτέρων ὄντων τῶν ὑμετέρων συγγραφέων. Καὶ πιστευτέον τοῖς λόγοις ἡμῶν, οὐχ ὅτι λέγομεν συνῳδὰ αὐτοῖς, ἀλλ᾽ ὅτι λέγομεν τὴν ἀλήθειαν, ὡς ταύτην ἐδίδαξεν ἡμᾶς ὁ Ἰησοῦς Χριστός, ὃς μόνον ἐγεννήθη ἐκ τοῦ Θεοῦ καὶ τῇ βουλήσει Αὐτοῦ ἐνηνθρώπησεν, ἵνα μεταβάλῃ καὶ ὑψώσῃ τὸ ἀνθρώπινον γένος (16-33).

Φαύλως βιοῦσιν, ἐπάγει ὁ Ἀπολογητής, οὐχ᾽ οἱ χριστιανοί, ἀλλ᾽ οἱ διεφθαρμένοι αἱρετικοί, οἷς οἱ ἐθνικοὶ ἀπεδίδοσαν θείας τιμάς·

τὴν αὐτὴν ἀκαθαρσίαν δείκνυσι καὶ ἐν τῇ ἐθνικῇ θρησκείᾳ (36—37). Διηγεῖται τίνι τρόπῳ τελοῦνται αἱ χριστιανικαὶ ἱεροπραξίαι, καθ' ἧς πολλὰς συκοφαντίας ἐξετόξευον οἱ ἐθνικοί, καὶ δείκνυσιν, ὅσον αὕτη ὑπερέχει τῶν ἐθνικῶν τελετῶν (*). Λέγει, ὅτι ἐν τοῖς ἱεροῖς συλλόγοις ἀνεγινώσκοντο τὰ συγγράμματα τῶν Ἀποστόλων καὶ τῶν Προφητῶν. Περὶ δὲ τῆς ἁγίας Εὐχαριστίας λέγει : «οὐ γὰρ ὡς κοινὸν ἄρτον οὐδὲ κοινὸν πόμα ταῦτα λαμβάνομεν· ἀλλ' ὃν τρόπον διὰ

(*) Οὕτως ἐν τῷ ξά. κεφαλαίῳ λέγει περὶ τῆς τελετῆς τοῦ μυστηρίου τοῦ ἁγίου βαπτίσματος τάδε : «Ὃν τρόπον δὲ καὶ ἀνεθήκαμεν ἑαυτοὺς τῷ Θεῷ, καινοποιηθέντες διὰ τοῦ Χριστοῦ, ἐξηγησόμεθα. — Ὅσοι ἂν πεισθῶσι καὶ πιστεύωσιν ἀληθῆ ταῦτα τὰ ὑφ' ἡμῶν διδασκόμενα καὶ λεγόμενα εἶναι καὶ βιοῦν οὕτω δύνασθαι ὑπισχνῶνται, εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ Θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς. Ἔπειτα ἄγονται ὑφ' ἡμῶν ἔνθα ὕδωρ ἐστί, καὶ τρόπον ἀναγεννήσεως, ὃν καὶ ἡμεῖς αὐτοὶ ἀνεγεννήθημεν, ἀναγεννῶνται. Ἐπ' ὀνόματος γὰρ τοῦ Πατρὸς τῶν ὅλων καὶ Δεσπότου Θεοῦ, καὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ Πνεύματος ἁγίου, τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται. Καὶ γὰρ ὁ Χριστὸς εἶπεν. *Ἂν μὴ ἀναγεννηθῆτε, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν.* Ὅτι δὲ καὶ ἀδύνατον εἰς τὰς μήτρας τῶν τεκουσῶν τοὺς ἅπαξ γεννωμένους ἐμβῆναι, φανερὸν πᾶσίν ἐστι. Καὶ διὰ Ἡσαΐου— εἴρηται τίνα τρόπον φεύξονται τὰς ἁμαρτίας οἱ ἁμαρτήσαντες καὶ μετανοοῦντες (Ἡσ. ά. 16-20).— Καὶ λόγον δὲ εἰς τοῦτο παρὰ τῶν Ἀποστόλων ἐμάθομεν τοῦτον. Ἐπειδὴ τὴν πρώτην γένεσιν ἡμῶν ἀγνοοῦντες κατ' ἀνάγκην γεγεννήμεθα ἐξ ὑγρᾶς σπορᾶς κατὰ μίξιν τὴν τῶν γονέων πρὸς ἀλλήλους καὶ ἐν ἔθεσι φαύλοις καὶ πονηραῖς ἀνατροφαῖς γεγόναμεν, ὅπως μὴ ἀνάγκης τέκνα μηδὲ ἀγνοίας μένωμεν, ἀλλὰ προαιρέσεως καὶ ἐπιστήμης, ἀφέσεώς τε ἁμαρτιῶν ὑπὲρ ὧν προημάρτομεν τύχωμεν ἐν τῷ ὕδατι, ἐπονομάζεται τῷ ἑλομένῳ ἀναγεννηθῆναι, καὶ μετανοήσαντι ἐπὶ τοῖς ἡμαρτημένοις, τὸ τοῦ Πατρὸς τῶν ὅλων καὶ Δεσπότου Θεοῦ ὄνομα.—Καλεῖται δὲ τοῦτο τὸ λουτρὸν φωτισμός, ὡς φωτιζομένων τὴν διάνοιαν τῶν ταῦτα μανθανόντων. Καὶ ἐπ' ὀνόματος δὲ Ἰησοῦ Χριστοῦ τοῦ Σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπ' ὀνόματος Πνεύματος ἁγίου, ὃ διὰ τῶν προφητῶν προεκήρυξε τὰ κατὰ τὸν Ἰησοῦν πάντα, ὁ φωτιζόμενος λούεται». Σ. Μ.

λόγου Θεοῦ σαρκοποιηθεὶς Ἰησοῦς Χριστὸς ὁ Σωτὴρ ἡμῶν, καὶ σάρκα καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν, οὕτω καὶ τὴν δι' εὐχῆς λόγου τοῦ παρ' Αὐτοῦ εὐχαριστηθεῖσαν τροφήν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν, ἐκείνου τοῦ σαρκοποιηθέντος Ἰησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι» (*) (36).

Ἐν τῷ ἐπιλόγῳ παραινεῖ μὴ παραβαίνειν τὴν δικαιοσύνην ὡς πρὸς τοὺς χριστιανούς, καὶ ἀναφέρει τὸ περὶ αὐτῶν διάταγμα τοῦ Ἀδριανοῦ.

§ 37. *Δευτέρα Ἀπολογία· λόγος παραινετικὸς πρὸς Ἕλληνας· σύγγραμμα περὶ ἀναστάσεως.*

Ἡ δευτέρα Ἀπολογία, ἧς ἡ γνησιότης, ὥςπερ καὶ τῆς πρώτης, ἐστὶν ἀναμφίβολος (¹), οὐκ ἔστιν οὕτω πλουσία κατὰ τὸ περιεχόμε-

(*) Ἐν τῷ Διαλ. πρὸς Τρύφωνα ὑποστηρίζει, ὅτι τὸ μυστήριον τῆς ἁγίας Εὐχαριστίας εἰκονίσθη ἐν τῇ Π. Δ. «Ἡ τῆς σεμιδάλεως προσφορὰ—ἡ ὑπὲρ τῶν καθαριζομένων ἀπὸ τῆς λέπρας προσφέρεσθαι παραδοθεῖσα, τύπος ἦν τοῦ ἄρτου τῆς εὐχαριστίας, ὃν εἰς ἀνάμνησιν τοῦ πάθους οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψυχὰς ἀπὸ πάσης πονηρίας ἀνθρώπων, Ἰησοῦς Χριστὸς ὁ Κύριος ἡμῶν παρέδωκε ποιεῖν, ἵνα ἅμα τε εὐχαριστῶμεν τῷ Θεῷ ὑπέρ τε τοῦ τὸν κόσμον ἐκτικέναι σὺν πᾶσι τοῖς ἐν αὐτῷ διὰ τὸν ἄνθρωπον, καὶ ὑπὲρ τοῦ ἀπὸ τῆς κακίας, ἐν ᾗ γεγόναμεν, ἠλευθερωκέναι ἡμᾶς, καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καταλελυκέναι τελείαν κατάλυσιν διὰ τοῦ παθητοῦ γενομένου κατὰ τὴν βουλὴν αὐτοῦ κτλ.» Ἡ θυσία αὕτη οὐκ ἠγγέλθη μόνον ἐν τύπῳ, ἀλλὰ καὶ προερρέθη ὑπὸ τοῦ Θεοῦ διαρρήδην. Ὁ Ἰουστῖνος λέγει, ὅτι ὁ Θεὸς ἀνήγγειλεν αὐτὴν διὰ τοῦ Μαλαχίου, ά. 10—12. «Οὐκ ἔστι θέλημά μου ἐν ὑμῖν (τοῖς Ἰουδαίοις), λέγει Κύριος....» Σ. Μ.

(¹) Ὁ Εὐσέβιος ἐσφαλμένως καλεῖ τὴν πρώτην μακρὰν ἀπολογίαν δευτέραν, καὶ τὴν βραχείαν πρώτην. Πᾶσαι αἱ ἐκλογαὶ αὐτοῦ ἐκ τῆς ὑποτιθεμένης δευτέρας τοῦ Ἰουστίνου ἀπολογίας ἀναγινώσκονται ἐν τῇ νῦν γνωστῇ πρώτῃ ἐκκλ. ἱστορ. δ'. 8. Ἀπολογ. Α'. 29, 31, 68. Ἐκκλησ. ἱστορ. δ'. 11. Ἀπολ. Α'. § 26. ἐκκλ. ἱστ. δ'. 12. Ἀπολ. Ά. § 1. Ὡσαύτως αἱ ἐκ τῆς βραχείας Ἀπολογίας (τῆς κατ' Εὐσέβ. πρώτης) ἐκλογαὶ ἀναγινώσκονται ἐν τῇ Β'. Ἀπολογίᾳ. Ἐκκλ ἱστ. δ'. 16. Ἀπολογ. Β'. § 3. ἐκκλ. ἱστ. δ'. 17. Ἀπολ. Β'. § 2.

νον, ὡς ἡ πρώτη. Τοῦτο δὲ ἐγένετο, διότι ὁ συγγραφεὺς οὐκ ἐνόμιζεν ἀναγκαῖον ἐπαναλαβεῖν τὰ ἐν τῇ πρώτῃ λεχθέντα [1]. Ἡ δευτέρα ἀπολογία ἐστὶ συμπλήρωμα τῆς πρώτης, προκληθὲν ὑπὸ νέου κατὰ τῶν χριστιανῶν διωγμοῦ. Εἰπὼν περὶ τῆς αἰτίας αὐτῶν (1-3) ὁ ἅγιος Ἰουστῖνος, ἀπαντᾷ πρὸς τὴν ἔνστασιν τῶν ἐχθρῶν τῆς πίστεως: διὰ τί οἱ χριστιανοὶ οὐ φονεύουσιν αὐτοὶ ἑαυτούς, εἰ ὁ θάνατός ἐστιν εὐεργεσία αὐτοῖς; Ἀποκρίνεται, ὅτι ἡ ζωὴ ἐδόθη ὑπὸ τοῦ Θεοῦ, καὶ μόνον κατὰ τὴν διάταξιν Αὐτοῦ δυνάμεθα καταλιπεῖν αὐτήν. Ἡ αὐτοχειρία τοίνυν οὐκ ἄγει εἰς τὸν σκοπὸν—εἰς τὴν μακαριότητα. Τοὐναντίον ἡ ἐλευθέρα τῆς ἀληθείας ὁμολογία ἐνώπιον τῶν ἐχθρῶν αὐτῆς, λαμβάνουσα διὰ τοῦ θανάτου πέρας, ἐστιν εὐάρεστος τῷ Θεῷ θυσία (§ 4, 5). Δευτέρα ἔνστασις: Εἰ ὁ Θεός ἐστι προστάτης τῶν χριστιανῶν, τίνος ἕνεκα ἐπιτρέπει ἵνα φονεύωσιν αὐτούς; Ὁ φιλόσοφος δείκνυσι τὴν κυρίαν τούτου αἰτίαν ἐν τῇ διαμάχῃ τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν, ἀναφανείσῃ ἀπὸ τῆς ἑκουσίου πτώσεως τῶν πνευμάτων καὶ τῆς ὑπὸ τοῦ ἀγαθοῦ Δημιουργοῦ ἐπιτρεπομένης ἐλευθερίας. Τὰ πονηρὰ πνεύματα φθονοῦσι τοῖς χριστιανοῖς, ἅτε δεινὰς ἥττας ὑπ' αὐτῶν ὑφιστάμενα. Ἐπειδὴ δὲ ὁ ἀγαθὸς Θεός ἐστι συνάμα καὶ δίκαιος, ἔσται χρόνος, ὅτε καὶ τοῖς πονηροῖς πνεύμασι καὶ τοῖς αὐτῶν μαθηταῖς—τοῖς ἐθνικοῖς ἀποδοθήσεται κατὰ τὰ ἔργα αὐτῶν, οἱ δὲ χριστιανοί, ἐφ' οἷς ἀθώως πάσχουσι, στεφθήσονται στεφάνῳ αἰωνίου δόξης τε καὶ μακαριότητος. Τὰ πάθη τῶν χριστιανῶν, ὧν τὴν ἀθωότητα οὐκ ἠδυνήθησαν ἀρνήσασθαι καὶ ἄνδρες ὅμοιοι τῷ Μάρκῳ Αὐρηλίῳ, διετάραξαν τὰς ἀμφιβολίας πολλῶν. Ὁ ἅγιος Ἰουστῖνος δείκνυσιν ἐκ τῆς γενικῆς ἱστορίας, ὅτι οἱ ἄριστοι τῶν ἀνθρώπων ἔπαθον ἀείποτε ὑπὸ τῶν κακῶν ἀνθρώπων, καὶ τούτοις τοῖς παθήμασιν κατεθριάμβευσαν τῆς κακίας. Μνημονεύει τῶν φιλοσόφων Σωκράτους, Ἡρακλείτου, Μουσωνίου καὶ ἄλλων. Εἰ δέ, λέγει ὁ φιλόσοφος, τοιοῦτοι ἄνδρες, οὕτως ἀσθενῶς νοήσαντες τὴν αἰώνιον Πρόνοιαν,—προθύμως ἔπαθον, πόσῳ μᾶλλον

[1] Ὁ ἅγιος Ἰουστῖνος οὐ σπανίως λέγει ἐν τῇ βραχείᾳ Ἀπολογίᾳ: «ὡς πρότερον εἰρήκαμεν», ἐννοῶν τὴν μακρὰν Ἀπολογίαν. Πρβλ. Ἀπολ. Β΄. § 4. σελ. 91. καὶ Ἀπ. Α΄. § 10. σελ. 48. Ἀπολ. Β΄. § 6. καὶ Ἀπολ. Α΄. § 23, 63. Ἀπολογ. Β΄. § 8. καὶ Ἀπολογ. Α΄. § 46.

οἱ χριστιανοί, οἷς οὕτω γνωστὸς ὁ αἰώνιος Λόγος τοῦ οὐρανίου Πατρός, δύνανται μὴ παραδιδόναι μετὰ χαρᾶς τὴν ζωὴν αὐτῶν ὑπὲρ τῆς διδασκαλίας τοῦ Χριστοῦ; Εἰ δὲ οὕτω προθύμως πάσχουσιν, οὐδαμῶς ἐκ τούτου εἰσὶν ἔνοχοι (§ 6 — 14).

Τοῖς ἀρχαίοις ἦν γνωστὸν τὸ σύγγραμμα τοῦ ἁγ. Ἰουστίνου «Ἔλεγχος πρὸς Ἕλληνας,» ἐπιγραφόμενον(1). Τὰ χωρία ἅτινα ἀναφέρονται ὑπό τινων ἐκ τοῦ ἐλέγχου, ἀναγινώσκονται ἐν τῷ νῦν γνωστῷ λόγῳ παραινετικῷ πρὸς Ἕλληνας (2), ἑπομένως ἐστὶν ἓν καὶ τὸ αὐτὸ σύγγραμμα. Ἐκλήθη δὲ ὁ λόγος οὗτος παραινετικὸς διὰ τὰς πρώτας αὐτοῦ λέξεις: «ἀρχόμενος τῆς πρὸς ὑμᾶς παραινέσεως, ὦ ἄνδρες Ἕλληνες», ἐξ ὧν ἄρχεται ὁ συγγραφεὺς τοῦ ἑαυτοῦ συγγράμματος. Ἔλεγχον δὲ ἐκάλεσαν αὐτό, διότι τὸ ὄνομα τοῦτο δεικνύει τὴν ὑπόθεσιν αὐτοῦ (α). Εἰς μάτην κατὰ τῆς γνησιότητος τοῦ λόγου τούτου ἐπάγουσι τὸ ἀνόμοιον αὐτοῦ πρὸς

(1) Εὐσέβ. ἐκκλ. δ'. 18. «Καὶ αὖθις ἕτερον πρὸς Ἕλληνας εἰς ἡμᾶς ἐλήλυθεν αὐτοῦ σύγγραμμα, ὃ καὶ ἐπέγραψεν *ἔλεγχον*. Hieron. de vir. illustr. c. 23. «Et quartum (sc. volumen) adversus gentes, cui titulum praenotavit *Ἔλεγχος*.» Φώτ. ἀνάγν. σλϐ'. «Τῷ δὲ πρὸς τὴν ἑλληνικὴν μὲν δόξαν συνενήνεκτο μάχη, καὶ τοῦ Πλάτωνος ἔλεγχος κατεσκευάζετο.» Αὐτόθ. ρκέ. «Ὁ δὲ τέταρτος αὐτῷ λόγος, ὁμοίως κατὰ τῶν ἐθνῶν συγκείμενος, *ἔλεγχος* ἐπιγραφὴν ἔχει.

(2) Στέφανος ὁ Γόϐαρος παρὰ Φωτ. ἀνάγν. σλϐ'. Δαμασκ. Παράλλ. Τ. II. σελ. 518. ed Leq.

(α) Λίαν ὀρθῶς λέγει ὁ βενεδικτινὸς μοναχὸς Προυδέντιος Μαρανός «Haec ad Graecos cohortatio, cum leniori disputatione, non vehementibus querelis contineatur, scripta non videtur inter persecutionum incendia, quae S. Martyris majorem vim et animi dolorem excitassent, sed potius inter eas veluti inducias, quibus Ecclesia tum, cum Justinus ad fidem conversus est, perfruebatur; atque id quidem causae esse arbitror, cur hujus orationis stilus, etsi Justinum omnino redolet, nitidior tamen et parulo expolitior sit, quam in aliis operibus» (ed. Opp. Just. p. 5.) Σ. Μ.

τὰς ἀπολογίας τοῦ Ἰουστίνου ([1]). Ἡ ἔννοια αὐτοῦ καὶ τῶν ἀπολογιῶν ἐστι μία καὶ ἡ αὐτή, δηλ. ὅτι ἡ καθαρὰ ἀλήθεια εὕρηται μόνον ἐν τῇ Ἀποκαλύψει. Περὶ τῶν ἀντιφάσεων τῆς ἑλληνικῆς φιλοσοφίας πρὸς ἑαυτὴν ὁ ἅγιος Ἰουστῖνος ἐποιήσατο λόγον καὶ ἐν ταῖς ἀπολογίαις ([2])· οὐκ ἐσιώπησε δὲ καὶ ὅτι οἱ ἕλληνες φιλόσοφοι ἠρύσαντο πολλὰ ἐκ τῶν ξένων([3]). Εἰ τέλεον φυσικόν, ὅτι ἐν ταῖς Ἀπολογίαις ὁ φιλόσοφος θεὶς ἑαυτὸν ἐν ἀμυντικῇ θέσει κατὰ τῆς τῶν ἐθνικῶν κακίας, τῆς καλούσης τὸν χριστιανισμὸν νεωτερισμόν, ἐδείκνυε τοῖς φιλοσόφοις αὐτοκράτορσιν ἐν τῇ ἀνθρωπίνῃ φύσει τὰς ἀρχὰς τῆς ἀληθείας, τὰς ἱερὰς τῷ τε ἐθνικῷ καὶ τῷ χριστιανῷ, οὐχ ἧττον φυσικὸν τῷ ἀπολογητῇ καὶ τοῦτο, ὅτι ἀγωνιζόμενος κατὰ τῆς ἐθνικῆς σοφίας, τῆς ἐπὶ τοῖς ἑαυτοῖς συγγράμμασι καυχωμένης, ἐκτίθησιν ἐν τῷ Παραινετικῷ λόγῳ τὰς πλάνας τῆς ἐθνικῆς θρησκείας καὶ τῶν σοφῶν τοῦ ἐθνισμοῦ ἐν πάσῃ αὐτῶν τῇ γυμνότητι.

Ὑπόθεσις τοῦ συγγράμματος τούτου. Μετὰ τὸ προοίμιον (§ 1) ά] δείκνυσι τὴν ἐν τοῖς ποιήμασι τῶν ποιητῶν καὶ τοῖς τῶν φιλοσόφων συγγράμμασι πλάνην καὶ ἀσέβειαν (2—7), β′] ἐξεικονίζει τὴν ἀξίαν τῆς ἀποκεκαλυμμένης διδασκαλίας καὶ κατ' ἐξοχὴν τὴν ἀρχαιότητα αὐτῆς (8—13)· γ′] δείκνυσιν, ὅτι πάντα τὰ παρὰ τοῖς ποιηταῖς καὶ φιλοσόφοις ἄριστα ἐλήφθησαν ἐκ τῆς ἀποκαλύψεως (14—38).

Τοῖς ἁγίοις Μεθοδίῳ [*] καὶ Ἱερωνύμῳ [**] ἦν γνωστὸν τὸ π ε ρ ὶ ἀ ν α σ τ ά σ ε ω ς βιβλίον τοῦ ἁγίου Ἰουστίνου.

([1]) Ὁ Νέανδρος ἐθαύμαζε, διατί ὁ Ἰουστῖνος οὐχ ὁμιλεῖ ἐν τῷ λόγῳ τούτῳ περὶ τῆς ἐσωτερικῆς γενικῆς πηγῆς τῆς γνώσεως τῆς ἀληθείας. Ὁ δὲ Ἄρενδτος (Quartal. Christ. 1834) νομίζει τοῦτο ἰσχυρὰν ἀπόδειξιν, ὅτι τὸ σύγγραμμα τοῦτο οὐκ ἀνήκει εἰς τὸν ἅγιον Ἰουστῖνον. Ἐπ' ἴσης ὁ Moehler (Patrol. f. 224—226).

([2]) Ἴδ. Ἀπολ. Α′. § 2. § 10. σελ. 95. §. 13. σελ. 97. Ἀπολ. Α′. § 4. σελ. 46. § 44. σελ. 70.

([3]) Ἴδ. Ἀπολ Ά. § 44. σελ. 59,60.

[*] «Ἰουστῖνος δὲ ὁ Νεαπολίτης, ἀνὴρ οὔτε χρόνῳ πόρρω ὢν τῶν Ἀποστόλων, οὔτε τῇ ἀρετῇ, κληρονομεῖσθαι μὲν τὸ ἀποθνῆσκον, κληρονομεῖν δὲ τὸ ζῶν λέγει, καὶ ἀποθνήσκειν μὲν σάρκα, ζῆν δὲ τὴν βασιλείαν Οὐρανῶν» (παρὰ Φωτ. ἀνάγν. σλδ′.).

[**] Epist. LXXXIV.

Λίαν σημαντικὸν μέρος τοῦ συγγράμματος τούτου διεσώθη ὑπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. Τὸ σύγγραμμά ἐστιν ἄξιον τοῦ ἱεροῦ φιλοσόφου. Ἐστὶ φιλοσοφικὴ ἅμα καὶ θεολογικὴ μελέτη περὶ ἀντικειμένου τοσοῦτον παραδόξου φανέντος τῷ ἐθνικῷ φιλοσόφῳ.

§ 38. *Διάλογος πρὸς Τρύφωνα.*

Ὁ πρὸς Τρύφωνα διάλογός ἐστιν ἐκτεταμένον σύγγραμμα. Ἡ γνησιότης αὐτοῦ ἐστιν ἀναμφήριστος. Ὁ Εὐσέβιος οὐ μόνον κατατάσσει αὐτὸν ἐν τοῖς συγγράμμασι τοῦ ἁγίου Ἰουστίνου, ἀλλὰ καὶ ἀναφέρει πολλὰ χωρία αὐτοῦ ἀπαραλλάκτως, ὡς νῦν ἀναγινώσκονται (¹).

Ὁ διάλογος, ἐκτὸς τοῦ προοιμίου (§ 1 — 10), περιέχει τρία μέρη. Ἐν τῷ πρώτῳ ἀνασκευάζονται δύο προλήψεις: οἱ χριστιανοὶ οὐκ ἐκπληροῦσι τὸν νόμον τοῦ Μωϋσέως, καὶ προσκυνοῦσι τὸν Ἐσταυρωμένον.

Ἡ πρώτη πρόληψις ἀνασκευάζεται ὡς ἑξῆς: Οἱ χριστιανοὶ οὐκ ἐκπληροῦσι τὰς τελετὰς τοῦ νόμου διὰ τὸ λαβεῖν πέρας τὴν κυρίαν αὐτοῦ δύναμιν ἅμα τῇ ἐλεύσει τοῦ Μεσσίου. Κατὰ τὴν διδασκαλίαν τῶν Προφητῶν, ὁ προορισμὸς τοῦ νόμου ἦν πρόσκαιρος, αἱ τελεταὶ αὐτοῦ οὐκ εἰσὶν ἀναγκαῖαι, ἐπιφανείσης τῆς ἀληθείας. «Διὰ τοῦ λουτροῦ οὖν τῆς μετανοίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ, ὃ ὑπὲρ τῆς ἀνομίας τῶν λαῶν τοῦ Θεοῦ γέγονεν, ὡς Ἡσαΐας βοᾷ, ἡμεῖς ἐπιστεύσαμεν καὶ γνωρίζομεν, ὅτι τοῦτ' ἐκεῖνο, ὃ προηγόρευε τὸ βάπτισμα, τὸ μόνον καθαρίσαι τοὺς μετανοήσαντας δυνάμενον, τοῦτό ἐστι τὸ ὕδωρ τῆς ζωῆς. Οὓς δὲ ὑμεῖς ὠρύξατε λάκκους ἑαυτοῖς, συντετριμμένοι εἰσὶ καὶ οὐδὲν ὑμῖν χρήσιμοι. Τί γὰρ ὄφελος ἐκείνου τοῦ βαπτίσματος, ὃ τὴν σάρκα καὶ μόνον τὸ σῶμα φαιδρύνει; Βαπτίσθητε τὴν ψυχὴν ἀπὸ ὀργῆς καὶ ἀπὸ πλεονεξίας, ἀπὸ φθόνου, ἀπὸ μίσους κτλ.» (11 — 17). Τὸ ἐν ταῖς τελεταῖς ὠφέλιμον ἐλήφθη παρὰ τῶν Πατριαρχῶν, οἳ ἄνευ αὐτῶν ἐδικαιώθησαν. Ἄλλως αἱ τελεταί εἰσι χαλινὸς μόνον τῷ κούφῳ λαῷ (18 — 26). Οἱ χρι-

(¹) Ἐκκλ. ἱστορ. δ'. 18. Hieron. de vir illustr. c. 23·

στιανοὶ ἔχουσι νόμον ὑψηλότερον, οὗ ἄνευ οὐδεὶς σωθῆναι δύναται. «Οὐδὲ γὰρ Αἰγυπτίοις χρήσιμος (ἡ περιτομή), οὐδὲ τοῖς υἱοῖς Μωάβ, οὐδὲ τοῖς υἱοῖς Ἐδώμ. Ἀλλὰ κἂν Σκύθης ᾖ τις, ἢ Πέρσης, ἔχῃ δὲ τὴν τοῦ Θεοῦ γνῶσιν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ φυλάσσει τὰ αἰώνια δίκαια, περιτέτμηται τὴν καλὴν καὶ ὠφέλιμον περιτομήν, καὶ φίλος ἐστὶ τῷ Θεῷ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ καὶ ταῖς προσφοραῖς χαίρει» (27 — 30).

Κατὰ τῆς δευτέρας προλήψεως ὁ ἅγιος Ἰουστῖνος λέγει, ὅτι προεκηρύχθη ὑπὸ τῶν προφητῶν ἡ διπλῆ τοῦ Χριστοῦ ἔλευσις, ἡ μὲν πρώτη ταπεινὴ καὶ ἄδοξος, ἡ δὲ δευτέρα φοβερὰ καὶ ἔνδοξος. Ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ οἱ Προφῆται δεικνῦσιν, ὁτὲ μὲν τὸν Κύριον τῶν δυνάμεων, ὁτὲ δὲ τὸν γεννώμενον καὶ πάσχοντα. Τὸ σκάνδαλον τοίνυν τοῦ Ἰουδαίου ὑβρίζει τοὺς προφήτας (31 — 47).

Ἐν τῷ δευτέρῳ μέρει λύονται τρεῖς ἀπορίαι τοῦ Τρύφωνος: 1] ὅτι ὁ Χριστὸς ὑπάρχει πρὸ πάντων τῶν αἰώνων ὡς Θεός· 2] ὅτι ἐγεννήθη ἄνθρωπος καὶ ἔπαθεν· 3] ὅτι οὐκ ἄνθρωπος ἐξ ἀνθρώπου, ὅπερ, λέγει, οὐ μόνον παράδοξον, ἀλλὰ καὶ μωρόν (1).

Ἀνασκευάζων τὰς ἀπορίας τοῦ Τρύφωνος ὁ ἅγιος Ἰουστῖνος, λέγει, ὅτι καὶ μετὰ τὰ μέχρι τοῦδε λεχθέντα ὀφείλει παραδέξασθαι ὡς βέβαιον, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Μεσσίας, λύσας δὲ τὴν νέαν αὐτοῦ ἀμφιβολίαν: εἰ ἦλθεν ὁ Ἠλίας; δείκνυσιν αὐτῷ τὰς θεοφανείας τὰς γενομένας τοῖς Πατριάρχαις, ἔνθα ὁ Ἄγγελος τοῦ Θεοῦ διακρίνεται ἀπὸ τοῦ Δημιουργοῦ Θεοῦ, καὶ σύναμα ἐμφανίζεται μετὰ τῶν ἰδιοτήτων τῆς Θεότητος, ἔπειτα τὰς ῥήσεις τῶν Προφητῶν, τὰς περιεχούσας παρομοίαν ὑπόθεσιν, στρέφει ἰδιάζουσαν προσοχὴν εἰς τοὺς λόγους τοῦ Ἡσαΐου: «Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται Υἱὸν» (Ἡσ. ζ΄. 14.) [48 — 85]. Τὸ σκάνδαλον τοῦ Σταυροῦ μετριάζει ὁ Ἀπολογητὴς διὰ τῶν συμβόλων τοῦ Σταυροῦ: διὰ τῆς

(1) «Παράδοξός τις γάρ ποτε καὶ μὴ δυνάμενος ὅλως ἀποδειχθῆναι δοκεῖ μοι εἶναι. Τὸ γὰρ λέγειν σε προϋπάρχειν Θεὸν ὄντα πρὸ αἰώνων τοῦτον τὸν Χριστόν, εἶτα καὶ γεννηθῆναι ἄνθρωπον γενόμενον ὑπομεῖναι, καὶ οὐκ ἄνθρωπος ἐξ ἀνθρώπου, οὐ μόνον παράδοξον δοκεῖ μοι εἶναι, ἀλλὰ καὶ μωρόν». Διάλ. κεφ. 48.